CORPVS
MEDICORVM GRAECORVM

AVSPICIIS ACADEMIARVM ASSOCIATARVM

EDIDERVNT

ACADEMIAE BEROLINENSIS HAVNIENSIS LIPSIENSIS

X 1, 1

PHILVMENI DE VENENATIS ANIMALIBVS EORVMQVE REMEDIIS CAPITA XXXVII ED. M. WELLMANN

LIPSIAE ET BEROLINI IN AEDIBVS B. G. TEVBNERI

MCMVIII

PHILVMENI

DE VENENATIS ANIMALIBVS EORVMQVE REMEDIIS

EX CODICE VATICANO PRIMVM EDIDIT

MAXIMILIANVS WELLMANN

LIPSIAE ET BEROLINI IN AEDIBVS B. G. TEVBNERI
MCMVIII

PRAEFATIO

Cum primo vere anni 1907 Romae in bibliotheca Vaticana codices Pseudo-Dioscurideos perlustrarem, felicissimo casu codex Vaticanus graecus 284 in manus meas incidit, qui Philumeni libellum περὶ τῶν ἰοβόλων ζῴων καὶ τῶν ἐν αὐτοῖς βοηθημάτων, adhuc ignotum, continet.[1]) Iam tum inspecto invento hunc libellum ut ad Philumeni rationem scribendi rectius aestimandam ita ad iologorum doctrinam accuratius adumbrandam summi esse momenti intellexi. Ante hos tredecim annos in eo libro, qui inscribitur *Die pneumatische Schule bis auf Archigenes in ihrer Entwicklung dargestellt* 129 sq. Philumenum medicum[2]) aut Galeno aequalem fuisse aut paulo post illius aetatem vixisse copiasque eius e Sorano, Archigene, Herodoto, aliis compilatas ab Aetio, medico clarissimo Amideno, expilatas esse conieceram. Haec coniectura invento meo egregie confirmatur. Namque ut paucis dicam, quae alibi fusius tractare mihi in animo est: Philumeni libellus primarius fons est libri XIII Aetiani cap. 1—44, quibus de noxiorum animalium morsibus accuratius agitur. Nec non et in Pseudo-Dioscuridis libello περὶ ἰοβόλων, compilatione vilissima s. fere VII, et in Pauli Aeginetae compendii de re medica editi libro V (cap. 1—26) vestigia apparent tam graviter impressa, ut ad emendanda Philumeni verba magno nobis fuerint usui.

Servatus est ille libellus, ut diximus, uno codice Vaticano gr. 284 saeculo XI p. Chr. n. scripto. Is codex initio et fine mutilus ut planissima scriptura insignis, ita ab indocto quodam librario exaratus est; foliis constat 288 (0,21 × 0,28), distributis manu s. XIII in quaterniones λζ, versibus in singulis paginis 31 vel 32. Extrema duo folia pessime detrita, margini additae non solum plantarum sed etiam animalium noxiorum effigies sat eleganter pictae, singulis libris capitum indices praemittuntur. Insunt Galeni libri VI—XI

---

1) Indicaverat Philumeni codicem Vaticanum etiam catalogus Academiae Berolinensis (*Die Handschriften der antiken Ärzte* II, p. 85, Abhandl. d. Kgl. Pr. Ak. d. Wiss. 1906).

2) Non recte de Philumeno iudicavit Th. Puschmann *Nachträge zu Alexander Trallianus* (Berliner Studien V, 1886) 13.

περὶ κράϲεωϲ καὶ δυνάμεωϲ τῶν ἁπλῶν φαρμάκων ita cum libris Dioscurideis περὶ ὕληϲ ἰατρικῆϲ consarcinati, ut ea, quae omiserit Galenus, ex Dioscuride suppleta sint (fol. 1—251^r).[1] Subsequuntur Pseudo-Dioscuridis liber περὶ δηλητηρίων φαρμάκων (fol. 251^v—264^r) et Philumeni libellus (fol. 264^v—288^v).[2] Quos libros, cum omnes eiusdem argumenti sint — pertinent enim ad eam medicinae partem, quae praecipue medicamentis pugnat — non casu sed certo consilio in unum corpus coniunctos esse suspiceris. Huic suspicioni mire favet praefatio et Pseudo-Dioscuridis et Philumeni libello praefixa. cf. fol. 252^r: βιβλίον ϛ̄ Διοϲκουρίδου· ἀναγκαῖον ᾠήθην τῶν ε̄ (τε P) βιβλίων Διοϲκουρίδου τὰϲ παραλελειμμέναϲ τῷ Γαληνῷ δυνάμειϲ καὶ ἰδέαϲ (εἰδέαϲ P) καὶ μύρων καὶ οἴνων τοῖϲ ἁπλοῖϲ Γαληνοῦ [οὐ] ϲυνειϲενεγκών, διὰ τοῦτο ⟨τὸ⟩ ϛ̄ βιβλίον Διοϲκουρίδου ϲυντάξαι μετὰ τῶν ἕνδεκα βιβλίων ἀναγραφὴν κατὰ τὴν αὐτοῦ μόνου Διοϲκουρίδου φράϲιν. De Philumeni libri praefatione cf. p. 4, 2—4 editionis meae. Itaque exstitit aliquis, qui medicorum commodo consulturus hanc collectionem medicinalem instituerit neque dubium esse potest, quin redactor ille a librario rudi diversus sit.

De codicis orthographia pauca monenda sunt. Crebra sunt itacismi vitia; confundit enim librarius ει et ι, ε et αι, ι vel ει et η, οι, ι et υ, ω et ο; assimulatione consonarum utitur in ϲυμμέλιτι, ϲυμμελικράτω, ϲυγχρόνω, saepius eam neglexit ut in ϲυνλεάναϲ, ϲυνπαθῶϲ, ϲύνμετρον, ἐνκατάϲκηψιϲ, ρ simplex invenitur in ἐπιροφοῦντεϲ, ἀπόρευϲιν, ἐπιριπτομένη, λ soni duplicatione utitur in κωλλύει, καλλῶϲ, accentus et spiritus neglegenter scripti sunt; spiritus vis aspera emollitur et vice versa, ut ὀπτή, ὀδύνη, rarius spiritus duplici puncto scribitur, ut ἵδρῶϲ, ἶριδι, ἵκανοῦ, ἵοβώλων, mediis verbis saepius spiritus pro apostropho additur: βοἠθεῖ, διἀφορεῖν, διἀβοἠτων, διὀλέϲαι, λεἀναϲ. ν paragogicum et omittitur et ponitur etiam sequenti littera consonanti. iota nec adscriptum nec subscriptum legitur. siglis et compendiis utitur hisce: ⁄· = ἐϲτί, ⁄⁄· = εἰϲί, ⋮ = εἶναι, γ = γάρ (semel χ), π̄ = παρά, πρ/ vel π̄ = πρόϲ, ϟ = καὶ, φη/ = φηϲί, ἄλλ = ἄλλο, ὥϲπ = ὥϲπερ, τ = ται, ϲθ = ϲθαι, ῐ = ιου, ω̄ = ων, τ = τουϲ.

---

1) Id praescriptionibus et subscriptionibus confirmatur. Cf. fol. 29^v: Γαληνοῦ τῶν ἁπλῶν βιβλίον ϛ̄· ἔχον τὰϲ ἰδέαϲ καὶ τὰϲ πλείω (sic) χρήϲειϲ καὶ ἑτέραϲ βοτάναϲ ἐκ τῶν Διοϲκουρίδουϲ. fol. 33^v: Γαληνοῦ τῶν ἁπλῶν βιβλίον ζ̄ ϲὺν καὶ τοῖϲ ἀπὸ Διοϲκουρίδου. fol. 102^r: Γαληνοῦ τὸ ζ̄ τῶν ἁπλῶν ἐπληρώθη βιβλίον· ἔχον καὶ τὰϲ τῶν βοτανῶν ἰδέαϲ καὶ τὰϲ λοιπὰϲ δυνάμειϲ ἐκ τῶν Διοϲκουρίδου, ὡϲ καὶ τὸ πρὸ αὐτοῦ.

2) In extremis duobus foliis addidit librarius antidotum Mithridaticum (fol. 287^r—288^v) et excerpta ex Africani Cestis περὶ τοῦ κιναμώμου.

Quibus expositis de huius editionis ratione et consilio dicam. Qua in re monendum est Philumenum fuisse compilatorem, qui non suo sed aliorum ingenio sapiat: libellus eius totus fere pendet ex Apollonii Herophilei, Archigenis, Theodori, Stratonis, Sorani copiis i. e. ex scriptoribus, quorum dicendi rationem adhuc non satis cognitam habemus. Verum enim vero multo gravius est quod ille libellus non integer nobis superest, sed a redactore huius collectionis medicinalis, de quo supra dixi, coartatus atque in angustiorem formam redactus, id quod non solum praescriptione probatur: κεφάλαια περὶ ἰοβόλων ζῴων καὶ τῶν ἐν αὐτοῖς βοηθημάτων. ἐκ τῶν Φιλουμένου, sed etiam inde colligi potest, quod Aetius, Paulus Aegineta, Pseudo-Dioscurides, quos hoc libro usos esse certum est, interdum plura habent, quae ex alio fonte sumpta esse nequeunt, alias enuntiata magis integra (cf. adnot. p. 12, 25. 23, 2. 24, 28. 31, 4. 36, 22. 39, 22 saepius). Quae cum ita sint, recensendi munus difficillimum esse concedes: nam etsi passim Philumeni manus enitescit, tamen eam nos integram assequi posse desperandum est. Itaque hoc munere ita functus sum, ut in rebus levioribus caute vestigia codicis premere non dubitaverim (exempli causa σκόρδα et σκόροδα, γεναμένη), neque vereor ne vituperer, quod a codicis fide ne in formis quidem dialecticis (velut ῥέφανος iuxta ῥάφανος, σκολοπένδρης, νάρκα iuxta νάρκη, καλαμίνθα, ὑδροφόβα etc.) recessi. Neque tamen quot vitiis codex inquinatus esset divinareris, nisi alia subsidia desperatam eius condicionem clamitarent. Huius generis sunt excerpta, quae ex hoc libello in opus suum contulit Aëtius Amidenus (l. XIII 1—44). Quae quam saepe corruptis codicis verbis salutare attulerint auxilium, quam saepe ad ea quae omisit librarius supplenda nobis usui fuerint, adnotatio nostra testatur. Ac cum Aëtii liber XIII nondum nactus sit editorem, scito me ad eum recognoscendum libris usum esse hisce: Laur. gr. 75, 18 s. XIV, Laur. gr. 75, 21 s. XIII, Marc. gr. 628 s. XV. Nec minor fructus ad Philumeni verba emendanda vel supplenda redundavit ex Aelii Promoti libri περὶ ἰοβόλων θηρίων excerptis cod. Vat. 299 s. XV et Ambros. S 3 Sup. s. XVI servatis, quae ex isdem fere fontibus transcripta sunt, quibus utitur Philumenus (cf. E. Rohde *Kl. Schriften* I 380 sq.).

Iam ad finem perducto prooemio restat ut gratias agam quam maximas viris illis doctissimis atque humanissimis, qui in hac editione conficienda me adiuverunt: U. de Wilamowitz, H. Diels, C. Krumbacher, E. Oder.

Potisdamiae mense Februario **M. Wellmann**

PHILVMENI
DE VENENATIS ANIMALIBVS EORVMQVE REMEDIIS
EXCERPTA VATICANA

SIGLA

P = *Philumeni cod. Vatic. gr. 284*
D = *Pseudodioscuridis* Περὶ ἰοβόλων *editio Sprengelii; praeterea usus sum cod. Laur. 74, 23 (F), cod. Scor. Σ I 17 (M), cod. Marc. Veneto 728 (V)*
A = *Pauli Aeginetae libri VII Bas. 1538*
Pr. = *Aelii Promoti* Περὶ ἰοβόλων θηρίων *cod. Vatic. gr. 299*
Aet. = *Aetii tetrabiblon editio Cornarii 1549*
O = *Oribasii editio Darembergii*
Th. = *Theophanis Nonni editio Bernardi 1794*

∠ = δραχμή
λ = λίτρα
Γο = οὐγκία
ξ = ξέστης
κº = κοτύλη
κᵘ = κύαθος

κεφάλαια περὶ ἰοβόλων ζῴων καὶ τῶν ἐν αὐτοῖϲ βοηθημάτων. ἐκ τῶν Φιλουμένου. fol. 264ʳ

1 αὐταῖϲ P: *correxi* 8 λυϲϲοδήκτωϲ (*comp. scr.*) P 18 ἐμπλαϲτροποιοῦϲαι P: *correxi* 21 μυῶν καὶ *delevi* 23 καλαβώτου P: *correxi* 24 περιάπτει P: *correxi*

6 ὀπητεϲ P: *correxi coll. Pl. n. h. XXX 116.* 13 κεγχρινοϲ P: *correxi* 15 ὕλεψ P: *correxi* 16 ἀγαθουδαιμων P: *correxi.* τυφλιον P: *correxi* 19 παρωϲοϲ P, *cf. Hes. s. v. Ael. n. a. VIII 12* κολόπενδρα P: *correxi* 22 χαλδικη P: *correxi*

ΠΕΡΙ ΙΟΒΟΛΩΝ ΖΩΙΩΝ ΚΑΙ ΘΕΡΑΠΕΙΑϹ.

[γνήϲιον καὶ ὠφέλιμον κατεφάνη μοι τοῦτο, τὸν περὶ λυϲϲῶντοϲ κυνὸϲ καὶ ἰοβόλων ζῴων λόγον ἐκ παλαιῶν ἀνδρῶν ἐν ἑτέραιϲ ἀναγεγραμμένον βίβλοιϲ ἐν τῇδε προϲθεῖναι [καὶ] τῇ βίβλῳ. καὶ ἔϲτιν ὅϲδε.]

ᾱ κυνὸϲ λυϲϲῶντοϲ ϲημεῖα καὶ τῶν ὑπ' αὐτοῦ δεδηγμένων.

1 τὸν περὶ τῶν λυϲϲοδήκτων λόγον προετάξαμεν τῶν ἄλλων, ἐπειδὴ καὶ τὸ ζῷον πολύ τε καὶ ϲύνηθέϲ ἐϲτι καὶ ϲυνεχῶϲ ἁλίϲκεται τῇ λύϲϲῃ καὶ δυϲφύλακτον καθέϲτηκεν, καὶ ὁ ἀπ' αὐτοῦ κίνδυνοϲ χαλεπόϲ, εἰ μὴ
2 πολλοῖϲ χρήϲαιτό τιϲ τοῖϲ βοηθήμαϲιν. λυϲϲᾷ δὲ ὁ κύων ὡϲ τὸ πολὺ
fol. 265v μὲν ἐν τοῖϲ ϲφοδροτάτοιϲ καύμαϲιν, ἔϲθ' ὅτε δὲ καὶ ἐν τοῖϲ | ἐπιτεταμένοιϲ κρύεϲιν. λυϲϲήϲαϲ δὲ ἀποϲτρέφεται καὶ βρῶϲιν καὶ πόϲιν, καὶ φλέγμα πολὺ καὶ ἀφρῶδεϲ ἐκ τοῦ ϲτόματοϲ καὶ τῶν ῥινῶν προβάλλει, καὶ πονηρὸν βλέπει καὶ ϲτυγνότερόϲ ἐϲτι τοῦ ϲυνήθουϲ· ἐφορμᾷ δὲ καὶ χωρὶϲ ὑλαγμοῦ πᾶϲιν ὁμοίωϲ, καὶ θηρίοιϲ καὶ ἀνθρώποιϲ ϲυνήθεϲί τε καὶ ἀγνώϲτοιϲ, καὶ δακὼν παραχρῆμα μὲν οὐδὲν ὀχληρὸν ἐπιφέρει, πλὴν ὅϲον ὀδύνην τὴν ἐκ τοῦ τραύματοϲ, ὕϲτερον δὲ ἐμποιεῖ
3 πάθοϲ τὸ καλούμενον ὑδροφοβικόν. ϲυμπίπτει δὲ μετὰ ϲπαϲμῶν ⟨καὶ⟩ παρακοπῆϲ καὶ ἐρυθήματοϲ ὅλου τοῦ ϲώματοϲ, μάλιϲτα δὲ τοῦ προϲώπου, καὶ μετὰ ἀφιδρώϲεωϲ καὶ ἀπορίαϲ. καὶ τινὲϲ μὲν τῶν ὑδροφοβιώντων φεύγουϲι τὴν αὐγήν, τινὲϲ δὲ τρύχονται ϲυνεχῶϲ· ἔνιοι δὲ

5 *SIM. Cels. V 27,2; Ruf. (210 sq. 371 sq. 447 sq.); Herod. (Rh. M. 58, 104 sq.) Gal. XIV 277 sq.; Orib. V 417 (e Gal.); Cael. Aur. a. m. III 9 sq. (e Sorano); Aet. VI 24 (e Gal. Posid. Ruf.), cf. Ael. n. a. IX 15.*
5 *EXC. Ps. Diosc.* περὶ ἰοβόλων *1 (57 sqq.); Paul. Aeg. V 3, unde Theoph. Nonn. 271.*

2 *verba* γνήϲιον — ὅϲδε *seclusi: compilatori vindicanda sunt.* 4 προϲθῆναι P: *correxi,* προθεῖναι *Wilamowitz* καὶ *delevi (dittogr.)* ὅϲδε P: ὅδε *Wil.* 5 τῶ P: *correxi* δεδηγμένω P: *correxi* 7 καὶ *(pr.) fort. delendum* 8 χαλεπόϲ] ἀπαραίτητόϲ ἐϲτιν DA 9 *post* πολλοῖϲ *add.* καὶ προϲφόροιϲ A 10 *post* καύμαϲιν *add.* A ὡϲ δέ φηϲιν ὁ Λύκοϲ; *ad rem cf. Alex. Aphr. Probl. I 76.* 11 ἀποτρέπεται D 13 ϲτυγνότερόϲ ἐϲτι] ϲτυγνότερον D 15 *post* ἀγνώϲτοιϲ *fortasse addas e* A καὶ δάκνει παραχρῆμα DA: παραχρῆμ P 17 καὶ *addidi* 18 παρακοπῆϲ *om.* DA 19 ἐφιδρώϲεωϲ DA καὶ τὸ ὕδωρ φεύγουϲιν ὁρῶντέϲ τε καὶ προϲφερόμενοι, τινὲϲ δὲ καὶ πᾶν ὑγρόν A 20 τὴν αὐγὴν D: αὐτὴν P, *fort. plura interciderunt* τρύχονται D: τρέφονται P

καὶ ὑλακτοῦcιν, ὥcπερ κύνεc, καὶ δάκνουcιν ἐπιόντεc, καὶ δακόντεc **1** 3
αἴτιοι τοῦ αὐτοῦ πάθουc κατέcτηcαν. τῶν δὲ ἐμπεcόντων εἰc τὸν 4
ὑδροφόβαν οὐδένα ἴcμεν περιγενάμενον, εἰ μὴ καθ᾽ ἱcτορίαν παρειλήφαμεν ⟨ἕνα ἢ⟩ δεύτερον· καὶ γὰρ Εὔδημοc περιγεγενῆcθαί τινά φηcι, ⟨καὶ Θεμίcωνα⟩ οἱ μὲν λέγουcι τῷ πάθει δηχθέντα περιπεcεῖν καὶ cωθῆναι, οἱ δὲ φίλῳ ὑδροφοβιῶντι προcκαρτερήcαντα προθύμωc καὶ cυμπαθῶc εἰc τὴν ὁμοίαν ἐμπεcεῖν διάθεcιν καὶ πολλὰ κακοπαθήcαντα cωθῆναι. τὸ μὲν οὖν πάθοc ἐcτὶν ἀργαλέον, πρὸ δὲ τῆc καταπείραc αὐτοῦ πολλοὺc καὶ αὐτοὶ περιεcώcαμεν καὶ ὑπὸ ἄλλων ἰατρῶν cωθένταc ἔγνωμεν.

β̄ θεραπεία κυνὸc λυccῶντοc.

τῆc θεραπείαc ἡ μέν ἐcτι κοινή, καὶ χρηcτέον αὐτῇ ἐπὶ πάν- 1
των ⟨τῶν⟩ ὑπό τινοc ⟨τῶν⟩ ἰοβόλων ζῴων | δεδηγμένων, ἡ δέ τιc fol. 266r
ἰδία τῶν λυccοδήκτων, τοὺc μὲν ἄκρωc ὠφελεῖν εἰθιcμένη, τοῖc δὲ ἀπὸ πολλοῦ δηχθεῖcιν ἀνάρμοcτοc. καὶ πρῶτόν γε ταύτην ἐκθέμενοι,
μετὰ τοῦτο καὶ τὴν κοινὴν ἐπιτροχάcομεν. δεῖ τοίνυν καρκίνουc πο- 2
ταμίουc ἐπὶ κληματίδοc λευκῆc ἀμπέλου καῦcαι καὶ τὴν τέφραν αὐτῶν λειοτριβήcανταc ἔχειν [μὲν] ἀποκειμένην· ὁμοίωc δὲ καὶ ῥίζαc γεν-
τιανῆc ἀποθέcθαι κεκομμέναc καὶ cεcηcμέναc. ὁπόταν δέ τιc δηχθῇ 3
ὑπὸ λυccῶντοc κυνόc, εἰc οἴνου ἀκράτου κυάθουc τρεῖc ἢ τέccαραc ἐμπάccειν δύο μὲν ⟨κοχλιάρια τῆc τῶν καρκίνων τέφραc, ἓν δὲ⟩ κοχλιάριον τῆc γεντιανῆc, ἐγκυκήcαντάc τε ὡc ἄλφιτον τῷ δεδηγμένῳ διδόναι πιεῖν ἀπὸ τῆc πρώτηc ἡμέραc μέχρι τεccαράκοντα ἡμερῶν· ἔcτω δὲ ὁ οἶνοc παλαιότεροc μᾶλλον ἢ νεώτεροc, καὶ εἴ τιc πρὸc ψιλὸν
τὸν ἄκρατον ἀθέτωc ἔχοι, κεκράcθω ζωρότερον. ἀπ᾽ ἀρχῆc μὲν οὖν 4
διδόμενον τὸ φάρμακον τοῦτον προcφερέcθω τὸν τρόπον. εἰ δὲ ἡμέραι παρέλθοιεν δύο ἢ καὶ τρεῖc ἀπὸ τῆc δήξεωc, ἐγχειροῦντεc τῇ θερα-

11 *SIM. Damocr. (Gal. XIV 195); Asclep. (Gal. XIV 169); Gal. (Orib. V 417 sq.); Orib. IV 623; Ael. Pr.* περὶ ἰοβόλων *(f. 482v).*
11 *EXC. Ps. Diosc. l. s. 2 (59 sq.).*

1 οἱ κύνεc A, *fort. recte* ἐπιόνταc A 4 ἕνα ἢ *addidi e* D: ἕνα ἢ δύο A: ἅπαξ ἢ δεύτερον *vel* δεύτερον *solum mavult Krumbacher* περιγεγενῆcθαι D: περιγενε͂cθαι P 5 καὶ θεμίcωνα *addidi e* D, *ad rem cf. Scrib. L. 171; Cael. Aur. a. m. III 16, 132; Plut. de an. 10; Orib. V 418; Poll. V 53* 13 τῶν *(utrobique) addidi:* τῶν ὑπό τινοc ἰοβόλου ζῴου D 14 ὠφελεῖ ἠθιcμένη P: *correxi e* D 15 ἀπὸ πολλοῦ D: ὑπὸ ἄλλου P 16 ἐκτροχάcομεν D 18 μὲν *delevi* D *duce (dittogr.)* ῥίζαν . . . κεκομμένην καὶ cεcηcμένην D 19 cεcειcμέναc P: *correxi e* D 20 γ̄ ἢ δ̄ P τρεῖc ἢ *om.* D 21 ἐμπάccει P *(ν add. m. post.):* ἐμβάλλειν D κοχλιάρια — δὲ *addidi e* D, *cf. Orib. l. s.* 22 ὡc ἐν ἀλφίτῳ δεδευμένῳ D τῶν δεδηγμένων P: *correxi* 23 μ̄ P *(semper):* τεccάρων DA, *at cf. Orib. V 682* 25 *ad* ζωρότερον *conferri iubet Diels Emped. fr. 35, 15* 27 παρεληλύθαcι D β̄ ἢ καὶ γ̄ P: καὶ *om.* D

2 4 πείᾳ τριπλάσιον τῇ συμμετρίᾳ ποιήσαντες τὸ φάρμακον δώσομεν, τοῦ
δὲ οἴνου τὸ προειρημένον μέτρον, ἔπειτα τῇ δευτέρᾳ καὶ τρίτῃ καὶ
τετάρτῃ οὐκέτι τὸ τριπλάσιον, ἀλλ᾽ ὅσον ἐξ ἀρχῆς εἰρήκαμεν. τὸ μὲν
οὖν ἄριστον ἐπὶ τῶν λυσσοδήκτων βοήθημα, ὃ δὴ καὶ μόνον ἐνίοις
5 ἤρκεσεν, τοῦτ᾽ ἔστιν, καὶ χρηστέον αὐτῷ μετὰ πεποιθήσεως. ἕνεκα δὲ τοῦ
καὶ διὰ τῶν ἄλλων ἠσφαλίσθαι πρὸς ἄφευκτον εἶναι δοκοῦντα κίνδυνον,
οὐδὲν τὸ κωλῦόν ἐστι καὶ τοῖς λοιποῖς χρήσασθαι βοηθήμασιν· αἱρε-
fol. 266v τώτερον γὰρ διακενῆς, ἂν οὕτω τύχῃ, | τῶν βοηθημάτων τὸ ἀπάν-
6 θρωπον ὑπομεῖναι, ἢ διὰ τὴν ὀλιγωρίαν κινδύνῳ περιπεσεῖν. οὐχ οὕτως
δὲ εὐλαβητέον τὰ μεγάλα τραύματα ἐπὶ τῶν λυσσοδήκτων, ὡς τὰ μικρὰ
καὶ ταῖς ἀμυχαῖς ἐμφερῆ· διὰ μὲν γὰρ τῶν μειζόνων ἀθροῦν καὶ πολὺ
τὸ αἷμα προχεόμενον δύναιτ᾽ ἄν τις καὶ τοῦ ἰοῦ συναποκλύζειν, διὰ δὲ
τῶν μικροτέρων οὐδαμῶς· ὅθεν ἐπὶ μὲν τῶν μειζόνων τὰς ἀφισταμένας
σάρκας αὐτόθεν ἀφαιρετέον καὶ τὰ χείλη περιγλυπτέον, ἐπὶ δὲ τῶν
μικροτέρων μείζονα τόπον διὰ τῆς ἀκμῆς περιγραπτέον· ἀνασταθείσης
⟨δὲ⟩ δηλονότι τῆς σαρκὸς ἀγκίστρῳ ἢ μυδίῳ τὴν ἐκτομὴν ἐπιτελεστέον.
7 ἐπὶ ἀμφοτέρων δὲ τὰ ἐν κύκλῳ βαθυτέραις ἀμυχαῖς κατασχαστέον,
ὅπως ἡ τοῦ αἵματος φορὰ πλουσιωτέρα γεναμένη ἐναντιωθῇ τῇ εἴσω
τοῦ ἰοῦ διαδύσει. πολὺ δ᾽ ἂν καὶ ἡ σικύα κολληθεῖσα μετὰ πολλῆς
φλογὸς παράσχοι ὄφελος, ὥστε ταῖς ὕλαις ὁμοῦ καὶ τὴν φθοροποιὸν
ἑλκύσαι δύναμιν.

⟨γ̅⟩ περὶ καυτῆρος τῶν ἐπὶ ἰοβόλων τραυμάτων.

ἡ δὲ καῦσις [τὸ] ἀνυσιμώτατον ἐπὶ πάντων ⟨τῶν⟩ ἰοβόλων ἐστὶ
βοήθημα· τὸ γὰρ πῦρ, πάσης τῆς ἄλλης δυνάμεως εὐτονώτερον ὑπάρ-
χον, ὁμοῦ μὲν κρατεῖ καὶ κωλύει φέρεσθαι τὸν ἰὸν ἐσωτέρω, ὁμοῦ δὲ
ἀναλίσκει τὸ κρατηθὲν αὐτοῦ μέρος, τῇ δ᾽ ἑξῆς θεραπείᾳ προκαταβολὴν
οὐ τὴν τυχοῦσαν ἐργάζεται, παραμενούσης τῆς ἑλκώσεως ἐπὶ πλέον
2 μετὰ τὴν ἔκπτωσιν τῆς ἐσχάρας· ἐν τοῖς μάλιστα δὲ καὶ τούτου
fol. 267r φροντιστέον, ὅπως μὴ τάχιον τῶν τεσσαράκοντα | ἡμερῶν αἱ οὐλαὶ
συγκλεισθεῖεν, ἀλλ᾽ ἐπὶ πολὺ τὰς ἑλκώσεις τηρητέον, εἰ οἷόν τε, καὶ
3 ἐπιφλεγμαινούσας καὶ ἐπιρρυπαινομένας. παρέξει δὲ αὐταῖς τὸ τοιοῦτο
τάριχος δριμύτατος ἐπιτιθέμενος, καὶ σκορόδων ἄγλιθες λελειοτριβη-

22 *SIM. Damocrat. (Gal. XIV 200); Orib. IV 624.*
22 *EXC. Ps. D. l. s. 61.*

1 *verba* τριπλάσιον — εἰρήκαμεν *in brevius contraxit* D 8—9 τὸ ἀπάνθρωπον D: τὸν ἄν̅ο̅ν̅ P 12 τοῦ ἰοῦ D: τούσιους P 16 δὲ *addidi e* D ἐπιτελευτέον P: *correxi:* ἀποτελεστέον D 17 ἀμυχαῖς D: μυχαῖς P 18 γενομένη D εἴσεισω P: *correxi* 19 ἡ D: εἰ P παραράσχοι P 22 *cap. num. addidi* καυστῆρος P: *correxi coll. indice* 23 τὸ *om.* D: *delevi* τῶν *addidi* 26 ἐφεξῆς D 32 σκόροδον ἄγριον (ἄγλυον VM) λελειοτριβημένον D λελειοτριβημένον P: *correxi*

μέναι, κρόμμυά τε ὡσαύτως, καὶ ὀπὸς μάλιστα μὲν ὁ Κυρηναικὸς ἢ ὁ **3** 3
Μηδικὸς ἢ ὁ Παρθικός. καὶ κόκκοι δὲ πυρῶν ἐπιτιθέσθωσαν, καὶ με-
μασημένοι μὲν καὶ ἀμάσητοι· διαφυσώμενοι γὰρ ὑπὸ τῆς βροχῆς ἀνευ-
ρύνουσιν τὰ τραύματα. τινὲς δὲ οἴονται τοὺς μεμασημένους ἀντιπαθές 4
τι ἔχειν ἀπὸ τῆς τῶν διαμασησαμένων νηστείας· οὐ μὴν τοῦτο βέβαιόν
ἐστιν, ἀλλ᾽ ἑκατέρως αὐτοῖς χρηστέον. εἰ δ᾽ ὅπερ γίνεται πλειστάκις 5
αἱ οὐλαὶ συνερχόμεναι φθάνοιεν πρὸ τῶν τεσσαράκοντα ἡμερῶν, διὰ
χειρὸς αὐτὰς ἀναξαίνειν προσήκει, περισαρκίζοντας καὶ ἐντέμνοντας καὶ
ἐπικαίοντας πάλιν, ἐὰν οὕτω τύχῃ· καὶ ἐκ τρίτου τε καὶ τετάρτου τὰ
αὐτὰ ποιητέον. παρελθούσης δὲ τῆς ὡρισμένης προθεσμίας, ἀφετέον
μὲν ἀπουλωθῆναι τοῖς ἕλκεσιν, ἐμπλάστρῳ δὲ τῇ διὰ τῶν ἁλῶν ὅλον
τὸν τόπον καταληπτέον· μετ᾽ ὀλίγας δὲ ἡμέρας καὶ σιναπιστέον.

δ̅ περὶ διαίτης λυσσοδήκτων.

δεῖ δὲ καὶ τὴν δίαιταν ἐστοχάσθαι τῆς πρὸς τὸν ἰὸν ἐναντιώ- **1**
σεως, ἵνα ὁμοῦ μὲν ἀμβλύνῃ καὶ σβεννύῃ τὴν δύναμιν αὐτοῦ, ὁμοῦ δὲ
κωλύῃ τὴν εἰς τὸ βάθος φοράν· καταλαμβανόμενα γὰρ ἀντιπίπτει
ἤδη τῇ παρεισδύσει τῆς φθοροποιοῦ δυνάμεως. δύναται δὲ τούτων **2**
ἑκάτερον παρέχειν οἴνου ἀκράτου ἢ ζωροτέρου πόσις | καὶ γλυκέος fol. 267v
⟨καὶ⟩ γάλακτος· ὁρμὴν γὰρ ταῦτα πάντα ὀξεῖαν λαμβάνοντα πρὸς
τὴν ἐπιφάνειαν ἀνθίσταται τῷ ἰῷ καὶ πᾶσαν αὐτοῦ τὴν δριμύτητα
ἐκλύει· ὡσαύτως δὲ καὶ σκορόδων καὶ κρομμύων καὶ πράσων ἐδωδή· **3**
καὶ ταῦτα δὲ καὶ τὸ ὅλον τὰ δυσμετάβλητα καὶ δυσεξίτηλα — παρα-
μένουσιν γὰρ αὐτῶν αἱ ποιότητες ἐπὶ πλείους ἡμέρας — οὐ κατανικᾶ-
ται οὐδὲ τρέπεται ὑπὸ τῆς φθοροποιοῦ δυνάμεως, ἐκ δὲ τῶν ἐναν-
τίων κρατεῖν αὐτῆς πέφυκεν. εἰς τοῦτο δὲ καὶ τῶν ἀντιδότων ἐστὶ **4**
χρεία, καθάπερ τῆς θηριακῆς καὶ τῆς Εὐπατορίου λεγομένης καὶ τῆς
Μιθριδατείου καὶ πάσης ἄλλης, ἥτις ἐκ πλειόνων ἀρωμάτων εἴληφεν
τὴν σύστασιν· δυσμετάβλητα γὰρ φύσει πάντα τὰ ἀρώματα καὶ ταῖς **5**
δυνάμεσι καὶ ταῖς οὐσίαις, διόπερ κρατεῖ τῶν ἐν τοῖς σώμασιν ⟨ἰῶν⟩.
τοιοῦτος μὲν καὶ ὁ τῆς διαίτης τρόπος.

1 *SIM. Aet. VI 24 (107v 12).*
13 *EXC. Ps. D. 3 (63 sq.); Paul. Aeg. V 3 (162, 48).*

1 κρόμμυα *scripsi:* κρόμμυα *vel* κρόμυα P 3 μὲν *om.* D, *fort. recte* γὰρ] μὲν γὰρ D ἀπὸ τῆς ἐμβροχῆς D 5 νηστείας D: ἠστίας P 14 ἐστοχάσθαι D: στοχάσθαι P 15 δὲ D: τε P 16 κωλύῃ D: κωλύων P 17 ἠδεῖ P: *corr. Diels* τῇ] τι P: *correxi* φθοροποιουοῦ *(sic)* P 18 οἴνου *(spat. 2—3 litt. relicto)* τοῦ P: *correxi coll.* D ἢ *om.* D 19 καὶ *ex* D *addidi* λακτος P, γα *add. m. post.* ὄξει ἀναλαμβάνονται P: *correxi* 22 καὶ ταῦτα γὰρ (καὶ F) τὸ ὅλον δυσμετάβλητα D ⟨πάντα⟩ τὰ *coni. Diels* 25 πέφυκεν εἰς τοῦτο D: πέφοικεν εἰστοῦστο P 27 Μιθριδατείου D: μιθριδατίου P 29 διὸ περικρατεῖται τοῖς σώμασι D ἰῶν *addidi:* τῶν ⟨ἰῶν τῶν⟩ ἐν τοῖς σώμασι *mavult Diels* 30 μὲν οὖν D *(ed. Spr., om. codd.)*

4 5 περὶ τῶν ἐν προλήψει γεγονότων ὑδροφόβων ἀπὸ λυσσο-
6 δήκτων. δεῖ δὲ γινώσκειν ὅτι ἡ τοῦ ὑδροφοβικοῦ πάθους ἐγκατά-
σκηψις οὐ μίαν οὐδὲ ὡρισμένην ἔχει προθεσμίαν· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ
περὶ τὴν τεσσαρακοστὴν ἡμέραν εἴωθεν τοῖς ἀμεληθεῖσιν ἐμπίπτειν, ἤδη δὲ
καὶ δι᾿ ἓξ μηνῶν ἐνίοις ἀπήντησεν καὶ δι᾿ ἐνιαυτοῦ· καὶ ταῦτα καὶ ἡμῖν
ἑώραται. ἱστοροῦσι δέ τινες μετὰ ἑπταετίαν ἐνίους ἁλῶναι τῷ πάθει.
7 κατὰ μὲν οὖν τὰς ἀρχὰς τῶν λυσσοδήκτων ἡ θεραπεία δεδή-
λωται. ἐὰν δὲ δι᾿ οἱασδηποτοῦν αἰτίας ⟨ἐν⟩ ταῖς πρώταις ἡμέραις
fol. 268r μὴ παραληφθῇ τὰ προειρημένα βοηθήματα, τὸ μὲν περισαρκίζειν |
τε καὶ καίειν παραλειπτέον· μάταιον γὰρ ἱκανῶς τὸ παρεληλυθὸς
εἰς τὸ βάθος μετάγειν πειρᾶσθαι· οὐδεμία γὰρ ὄνησις τῆς ἐπιβολῆς,
8 ἀλλὰ διακενῆς τὰ σώματα ταῖς ὀδύναις ὑποβληθήσεται. τρόπος δὲ
ἕτερος τῆς θεραπείας εἰσαγέσθω, ὥστε κάθαρσιν καὶ μετασύγκρισιν
9 ἐργάσασθαι τοῖς σώμασιν· συμμεταποιήσει γὰρ τὴν ἕξιν κενοῦσα. διδό-
σθω δὲ ἡ διὰ τῆς κολοκυνθίδος ἱερά, καὶ τὸ γάλα δὲ τὸ σχιστόν, ὁμοῦ
μὲν κάθαρσιν καὶ ἐπίκρασιν παρέχειν δυνάμενον, αἵ τε δριμυφαγίαι καὶ
ἡ τοῦ ἀκράτου πόσις παραλαμβανέσθωσαν καθ᾿ ἡμέραν, ἀμβλύνειν δυνά-
μενα τὸν ἰόν, καὶ πρὸς τούτοις ἱδρωτοποιία καὶ πρὸ τροφῆς καὶ μετὰ
τροφήν, δρωπακισμοί τε καὶ σιναπισμοὶ κατὰ μέρος ἐφ᾿ ὅλου τοῦ σώ-
10 ματος. πάντων δὲ ἀνυσιμώτατος ἐπ᾿ αὐτῶν ὁ ἐλλέβορός μοι ἐγνώσθη,
καὶ χρηστέον τεθαρρηκότως τῷ βοηθήματι, καὶ οὐχ ἅπαξ οὐδὲ δὶς ἀλλὰ
11 καὶ πλεονάκις πρὸ τῆς τεσσαρακοστῆς ἡμέρας καὶ μετὰ ταύτην. τοσαύ-
την δὲ ἰσχὺν προσφέρεται τὸ βοήθημα τοῦτο, ὥστε καὶ τῶν ἤδη συνη-
σθημένων τοῦ ὑδροφόβα περισωθῆναί τινας, λαβόντας τὸν ἐλλέβορον
εὐθὺς ἐν τῷ πρώτῳ [τῷ] καταπειρασμῷ τοῦ συμπτώματος· τοὺς γὰρ
ἤδη κατεσχημένους οὔτε οὗτος οὔτε ἄλλο τι περιποιῆσαι δύναται.
12 πρὸς ὑδροφόβας τὸ διὰ πυτίας. πυτίας λαγωοῦ, Λημνίας σφρα-
γῖδος, ἀρκευθίδων, γεντιανῆς ἀνὰ < δ, δαφνίδων, σμύρνης ἀνὰ < η
fol. 268v 13 ἀναλάμβανε μέλιτι. ἡ δόσις κυάμου Αἰγυπτίου τὸ μέγεθος. ἄλλο· |
ἐξέραμα κυνὸς ἄρας ξήρανον καὶ λεάνας θὲς ἐν πυξίδι καὶ χρῶ ὡς
καλλίστῳ πρὸς λυσσοδήκτους θαρρῶν. ἐκ τοῦ οδ̅ Θεοδώρου· τοῖς
δεδηγμένοις ὑπὸ κυνὸς λελυσσηκότος περίαπτε χαμελαίας ῥίζαν· ὡς

1 *EXC. Ps. D. l. s. 3 (64 sq.); Paul. Aeg. V 3 (162, 16).*
1 *SIM. Cael. Aur. a. m. III 9, 100.*
9 *EXC. Ps. D. 3 (62); Paul. Aeg. V 3 (162, 51).*

4 μ̄ P 8 ἐν *addidi e* D 10 παραλειπτέον D: παραληπτέον P 14 κινοῦσα D 15 σχιστόν D: σχιστης P 16 μὲν *om.* D αἵ τε] ἅπερ P: *correxi e* D 17—18 δυνάμεναι D, *fort. recte* ναδρωτοποιΐα *(sic)* P: *correxi* 22 πλονάκις P μ̄ P 23—24 δυνηθισμένων τῷ ὑδροφόβα P: *corr. Diels e* D 25 ἐθὺς P: *correxi* τῷ *(alt.) e* D *delevi* 26 κατῆσχημένους P: *correxi* 27 ὑδροφόβας P: ὑδροφόβαν *mavult Krumb.* 30 ἐξάραμα P: *corr. Diels* 31 *fort.* ἐκ δὲ 32 δὲ δηγμένοις P

θαυμαστῷ χρῶ. ⟨ἄλλο⟩ πρὸς λυccοδήκτους ὥcτε μὴ ἐμπεcεῖν εἰc 4 14
τὸ ὑδροφοβικὸν πάθοc· †ἀφρὸc ὁ δηχθεὶc τὴν ἰδίαν cκιὰν θεωρῶν, ὡc
ἔθοc ἐπὶ ὑγιαινόντων, οὐ μὴ ληφθῇ τῷ πάθει. πρόγνωcιc τοῦ πάcχον-
τοc, εἰ ζήcεται. ποίηcον αὐτὸν ἀτενίcαι εἰc κάτοπτρον, καὶ ἐὰν ἑαυ-
τὸν ἐπιγνῷ, ζήcεται· ἐὰν δὲ μή, οὔ· τοῦτο ἀπαράβατον. ἐκ δὲ τοῦ 15
ξγ̄ Θεοδώρου κυνοδηκτικὴ Κράτητοc, δι' ἧc δοκιμαcίαc ἐν τῇ θεραπείᾳ
εὑρίcκεται ὁ ἰὸc ἐν τῷ οὔρῳ τοῦ δηχθέντοc· ἰοῦ ξυcτοῦ, ἁλὸc ἀνὰ
< δ̄, cτέατοc μοcχείου < ιβ̄ καθ' ἓν καὶ ὁμόcε τρίψαc χρῶ, ἐμπάccων εἰc
cπληνίον. φύλαccε δὲ τοῦ κάμνοντοc ⟨τὸ⟩ οὖρον ἐν ὑαλίνῳ ἀγγείῳ
καὶ εὑρήcειc ἐν αὐτῷ τὴν πεῖραν τοῦ φαρμάκου.

ε̄ περὶ κυνοδήκτων καὶ ἀνθρωποδήκτων.

Ἀρχιγένηc ἐν τῷ ε̄ βιβλίῳ τῶν Κατὰ γένοc φαρμάκων οὕτωc· 1
τοὺc δὲ ἀνθρωποδήκτουc προχρίcαc ἐλαίῳ μαράθρου ῥίζαν ⟨λειώcαc⟩
μετὰ μέλιτοc, ἄχρι ἂν καθαρθῇ τὸ ἕλκοc, χρῶ, εἶτα cμύρναν καὶ τερε-
βινθίνην ἴcα ἀναλαβὼν ὡc μάλαγμα ἐπιτίθει· ἢ χάλκανθον κεκαυμένην
μέλιτι ἑφθῷ ἀναλαβὼν ὡc κουλλούριον ἐντίθει, καὶ οὕτωc ἀνακαθάραc
παρακόλλα. ἐκ δὲ τοῦ Cτράτωνοc· ὀcτέα μόcχεια καύcαc, ἕωc λευκὰ 2
γένηται, ἀνα|λάμβανε πίccῃ ὑγρᾷ ἢ μέλιτι ἢ ἀμφοτέροιc καὶ ἐντίθει. fol. 269ʳ
ἄλλο· μάννην λεάναc μετ' ἐλαίου καὶ οἴνου κατάπλαccε.
περὶ κυνοδήκτων. ἐπὶ δὲ τῶν κυνοδήκτων εὐθέωc μὲν καταρραί- 3
νων ὄξοc πλατείᾳ τῇ χειρὶ τύπτε τὸ δῆγμα, εἶτα νίτρον μετ' ὄξουc τρίψαc
κατακρούνιζε ἄνωθεν, εἶτα ὀρόβινον ⟨ἄλευρον⟩ φυράcαc ἐλαίῳ ἐπιτίθει,
ἢ cπόγγον καινὸν ἢ ἔριον οἰcυπηρὸν ὄξει καὶ ἐλαίῳ βεβρεγμένον, ἢ
καινὸν cπόγγον ὕδατι ψυχρῷ βρέξαc ἢ ὀξυκράτῳ ἢ ὄξει ἡμέραc τρεῖc
ἔαcον ἐπικεῖcθαι, καταβρέχων τοῖc ἄνω εἰρημένοιc· ἐξόχωc γὰρ ποιεῖ
καὶ εἰc τέλοc ἀφυγιάζει. πρὸc δὲ τὰ ⟨ἤδη⟩ πεπυωμένα τῶν δηγμά- 4
των ὀρόβινον ἄλευρον μέλιτι φυράcαc ἐπιτίθει· ἄκρωc ποιεῖ.

6 *SIM. Ael. Pr. (fol. 483ᵛ).*
11 *SIM. Aet. XIII 1; Ael. Pr. (fol. 482ᵛ).*
20 *EXC. Orib. V 681; Aet. XIII 2; Paul. Aeg. V 4.*

1 ἄλλο *addidi* 2 ἀφρὸc *corruptum, fort. plura interciderunt* 5 *post* τοῦτο *del.* μ P *(pr. m.)* ἐκ] εἰ P: *correxi* 7 οἶοc P, *ad rem cf. Pr.* ἄλλη ἔμπλαcτροc πρὸc λυccοδήκτουc, ἥτιc δι' οὔρων ἐκκρίνει τὸν ἰόν 8 καθ' ἓν *Pr.:* καυθὲν P 9 τὸ *addidi ex Pr.* ὑαλίνῳ] ὕδατι P: *correxi coll. Pr.* φύλαττε δὲ τοῦ πάcχοντοc τὸ οὖρον ἐν ὑαλίνῳ ἀγγείῳ· ὄψει γὰρ ἐν τῇ ὑποcτάθμῃ τοῦ κυνὸc τὸν ἰὸν ἐκκριθέντα. 12 ιε̄ P: *correxi* 13 προχειρήcαc P: *correxi* μαράθρον (ον *in* ου *corr. pr. m.)* P λειώcαc *addidi ex Aet.* 16 ἐντίθει P: ἐπιτίθει *Pr., Aet.: fort. recte* 17 *idem Stratonis nom. omisso habent Aet. et Pr.* 21 ὄξει A *Aet.* τύπτε τὸ δῆγμα, εἶτα (ἔτι δὲ A*) Aet.* A: cτυπτηρίαν P 22 ἄλευρον *addidi* 23 ἢ *(pr.)*] εἰc P: *correxi* 24 καινὸν· ἢ cπόγγο P: *correxi* 26 ἤδη *addidi ex* O A πεπορωμένα P: πεπυρωμένα A, *correxi coll.* O *Aet.*

5 5 ἐκ τῶν Ἀπολλωνίου ⟨Εὐ⟩πορίστων· πρὸς δὲ τὰ φλεγμαίνοντα
τῶν δηγμάτων λιθάργυρον λειάνας μεθ' ὕδατος κατάχριε, ἢ φακῷ ἑφθῷ
λείῳ κατάπλασσε. κέχρησο δὲ καὶ ἐνδείᾳ καὶ κενώσει καὶ ἀκινησίᾳ
τοῦ δεδηγμένου μέρους, ἢ τάριχον ὃν ἐὰν σχῇς μάλιστα παλαιὸν λει-
ώσας κατάπλασσε. τοῦτο ἐνεργέστερόν ἐστι παντὸς ἄλλου φαρμάκου
6 κατ' ἐξοχήν. ὁ δὲ καθηγητὴς ἐνεργέστερον ποιῶν καὶ σκόροδα συνε-
λέαινεν. πρὸς οὖν κυνόδηκτα καὶ ἀνθρωπόδηκτα ἅλας λεῖον σὺν μέ-
λιτι κατάπλασσε, ἄχρις οὗ πλήρη ᾖ. τινὲς δὲ καὶ κρόμμυον προσμίσγουσιν
καὶ ὄξους καὶ οὕτως χρῶνται. αὐτοῖς δὲ τούτοις τοῖς βοηθήμασιν
χρηστέον καὶ ἐπὶ τῶν ἀνθρωποδήκτων· ταῦτα γὰρ ἁρμόζει πρὸς τὰς
fol. 269v 7 ἑκατέρων διαθέσεις. | ἐκ δὲ τῶν Θεοδώρου· ὑὸς κόπρον κατα-
καύσας καὶ ἀναλύσας ἐλαίῳ ἐπιτίθει· ἐμοὶ δὲ δοκεῖ καὶ πράσον τούτῳ
8 μίσγειν. ἄλλο· ἄνηθον ξηρὸν κατακαύσας πλήρωσον τὸ δῆγμα, καὶ
πεμπταῖον λύσας εὑρήσεις καθαρόν. ἄλλο· φύλλα κράμβης, ἰὸν χαλ-
κοῦ, πήγανον καὶ ἅλας ἐπιτίθει.

ϛ θυμιάματα ἑρπετῶν.

1 ἐκ τῶν Ἀρχιγένους· ὁπλαὶ αἰγῶν καὶ τρίχες θυμιώμεναι πόρ-
ρωθεν· ἀναστέλλεται ⟨γὰρ⟩ τὰ ἑρπετὰ τῇ τούτων ὀσμῇ. σύνθετον θυ-
μίαμα Φιλίνου ⟨τοῦ⟩ θηριακοῦ· χαλβάνης, κάχρυος τῆς ῥίζης, κέρατος
ἐλαφείου, μελανθίου ἀνὰ 𐅻 α̅. λεάνας πάντα ἀναλάμβανε ⟨ὄξει⟩, ποιῶν
2 τροχίσκους. ἐπὶ δὲ τῆς χρείας ἀποβρέξας εἰς ἔλαιον θυμία κατὰ
μέσον τῆς οἰκίας, ἐὰν δὲ ἐν ὑπαίθρῳ ᾖς, κατὰ μέσον τῆς κοίτης. ἄλλο·
χαλβάνης, στέατος ἰχνεύμονος ἀνὰ 𐅻 α̅ τήξας ἀπόθου· ἐπὶ δὲ τῆς
3 χρείας θυμίασον ὁμοίως. ἄλλο Αἰγύπτιον· γῆρας ἀσπίδος βρέξας εἰς
ἔλαιον [ἄλλο] θυμία ἐγγὺς τῶν φωλεῶν καὶ εὐθέως ἀναβήσονται.
⟨ἄλλο⟩ καταφέρον καὶ σκορπίους καὶ πᾶν ἑρπετὸν ⟨ἀπελαῦνον⟩ ἐξ
οἰκίας· χαλβάνην, σανδαράκην, βούτυρον, βρυωνίαν, στέαρ αἴγειον ἐξ
ἴσου θυμία.

2 *EXC. Orib. V 681.*
16 *SIM. Nic. Th. 35 sq. (ex Apollod.); Aet. XIII 9; Ael. Pr. (fol. 474v); Paul. Aeg. V 1.*

1 πορίστων P: *correxi* 4 μέρου μέρους P: *correxi* ὃν ἐὰν P: *nihil mutandum esse putant Diels et Krumb.* 6 καθηγητὴς] *fort.* Μάρκος ὁ καθηγητής *cf. Orib. IV 624* 7 ἄλλας P: *correxi* λεῖον P: *retineri iubet Krumb.* 8 πλήξῃ P: *corr. Diels (sc.* τὰ κυνόδηκτα*)* 10 ταῦτα] ταῦ P: *correxi* 17—18 πόρρωθεν *cum insequ. coniungit Aet.* 18 ἀναστέλλει P: *correxi* γὰρ *addidi* 19 Φιλίνου *scripsi:* ὁλαου P: *Stratoni medicamentum vindicat Aet. l. s.* τοῦ *addidi* 20 ὄξει *addidi coll. Aet.* λεάνας πάντα ἀνάπλασσε τροχίσκους μετ' ὄξους 22 ὑπέρθρῳ P: *correxi* 23 ἀπάθου P: *correxi* 25 ἄλλο *delevi et ad v. 26 transposui* 26 κατάφερεῖ P: κατασπᾷ *Pr.: correxi* ἀπελαῦνον *addidi ex Pr., qui* ἀπελαύνει *post* οἰκίας *habet*

ζ̄ συγχρίσματα πρὸς ἑρπετά.

συγχριέσθω δὲ τὸ σωμάτιον ἐλαίῳ, ἐν ᾧ κέδροι συγκεκομμέναι **7** 1
χλωραὶ προεβλήθησαν ἢ ἀρκευθίδες ἢ κόνυζα ἢ πευκέδανον ἢ σίλφιον
ἢ ἐλελίσφακον ἢ μαλάχη ἀγρία ἢ ἀβρότονον ἢ καρδάμωμον ἢ ἀσφο-
δέλου ἢ δαύκου | καρπὸς ἢ χαλβάνη, καὶ ὀπῷ πευκεδάνου ἢ μυελῷ fol. 270ʳ
ἐλαφείῳ μετ᾽ ὄξους ἀνειμένῳ ἢ ὀξελαίῳ ἢ τοῖς ἐκ τούτων συν-
τεθεῖσι. πρὸς δὲ πᾶν θηρίον καθολικῶς· τὸ ἑκάστου στέαρ συναλειφό- 2
μενον φυγαδεύει ἀπὸ τῆς ὀσμῆς τὸ συγγενές, ὡς καὶ κύων ὀσφρανθεὶς
τοῦ ἰδίου κρότωνος τεθλασμένου φεύγει ταχέως.

πληξάντων θηρίων βοηθήματα· ἐὰν δὲ ἄρα συμβῇ πληγῆναί 3
⟨τινα⟩ ὑπό τινος θηρίου, κούφου μένοντος τοῦ ἰοῦ, καταντλήσεις διὰ
θερμοῦ ὕδατος ἢ ὀξυκράτου καὶ ἐκμυζήσεις. δεῖ δὲ μὴ ἄσιτον εἶναι
τὸν ἐκμυζῶντα, ἀλλ᾽ εἰληφέναι τροφὴν καὶ διακεκλύσθαι οἴνῳ· ἔπειτα
ἐλαίου βραχὺ ἐν τῷ στόματι κατέχων οὕτως τὴν ἐκμύζησιν ποιείτω.
δεῖ δὲ προσέχειν μὴ τὸ στόμα ἢ οἱ ὀδόντες ἢ τὰ παρίσθμια τοῦ μέλ-
λοντος ἐκμυζᾶν ἔχουσί τινα βλάβην. μετὰ τοῦτο δὲ τέφρα μετ᾽ ὄξους 4
καταχριομένη ὀνίνησιν, μάλιστα δὲ ἡ ἐκ συκίνων ξύλων ἢ δαφνίνων ἢ
ἀμπελίνων, εἰ δὲ μή, τὴν παροῦσαν ⟨πρόσεχε⟩, σπουδάζων ὡσότι μά-
λιστα φλεγμονὴν [μὴ] ἐγεῖραι. σφοδροτέρου δὲ ὄντος τοῦ πλήγματος
καὶ κατασχασμῷ χρηστέον· βαθυτέρας δὲ ἐμβάλλειν τὰς ἀμυχὰς προσή-
κει. χρῆσθαι ⟨δὲ⟩ καὶ σικύαις, ὅπως τὴν ὕλην ἐκ βάθους ἀναλαμβάνῃ· 5
καὶ περισαρκισμὸς δὲ καὶ ἐκτομὴ πλουσιώτερον κατασχασμοῦ βοηθοῦσιν,
περὶ δὲ καύσεως [ὡς] ἐπὶ τῶν λυσσοδήκτων προειρήκαμεν. εἰ δὲ
εὐφυῶς ἔχει πρὸς ἀποκοπὴν τὸ μέρος τὸ δεδηγμένον, μάλιστα ἐπὶ
πάντων θηρίων ἀνενδοιάστως τὸν ἀκρωτηριασμὸν ποιητέον, ὡς ⟨ἐπὶ⟩
ἀσπίδος καὶ κεράστου καὶ τῶν ὁμοιοτρόπων. | ἐπιτιθέσθω δὲ 6 fol. 270ᵛ

1 *SIM. Nic. Th. 80 sq.; Ael. Pr. (fol. 474ʳ).*
10 *SIM. Ael. Pr. (fol. 474ᵛ); Aet. XIII 10; Paul. Aeg. V 2.*
10 *EXC. Ps. D. 19 (74 sq.).*

1 ἐγχρίσματα P: *correxi coll. indice* 2 κεδρίαι *Pr.* 6 ἀνιεμένῳ P: *correxi* 6—7 συντεθέντων P: *correxi* 7 *ad rem cf. Pr. l. s.* παντὸς δὲ θηρίου στέαρ ἐπαλειφόμενον τὸ ὁμοειδὲς διώκει· ὥσπερ ὁ τοῦ κυνὸς κρότων *(*κρότος *codd.)* τεθλασμένος τὸν κύνα ὀσφραινόμενον ἀποδιώκει 8 *fort.* ὁ κύων 11 τινα *addidi ex* A καταντλήσει P: *correxi, nisi praestat* ⟨χρηστέον⟩ καταντλήσει ⟨τῇ⟩ διὰ διὰ] λεῖα P: *correxi* 12 ἐκμυζήσει P: *correxi* 14 *fort.* ποιείσθω 15—16 μέλλος P: *correxi* 17 ἢ *pr.*] μὴ P: *correxi* 18 πρόσεχε *vel tale quid addi iubet Diels* 19 μὴ *delevi coll. Aet.* σπουδάζων ὡς ὅτι μάλιστα φλεγμονὴν τῷ τόπῳ ἐγεῖραι καὶ τὰς ὕλας περὶ τὸ δῆγμα προσκαλέσασθαι; *Pr.* σπεύδων *(*σπεύδειν *codd.)* ὡς ὅτι μάλιστα φλεγμονὴν ἐγεῖραι: μὴ *tuebatur Diels* 20 *fort.* καὶ *delendum* ἐμβάλλειν D: ἐμβαλεῖν P 20—21 προσήκει *cum insequ. coniungit* P 21 δὲ *addidi* ἀναλαμβάνοι P: *correxi* 23 περὶ *corr. Diels coll.* D: πρὸς P ὡς *(ditt.) del. Diels* 25 τῶν πανθηρίων P: *correxi* ἐπὶ *addidi ex* A 26 *post* δὲ *haec habet* D τέφρα κληματίνη ἢ συκίνη μετὰ κονίας στακτῆς πεφυραμένη, γάρου δριμέος, ταρίχου· πράσα κτλ.

7 6 τάριχος λεῖος, πράcα ⟨τε⟩ καὶ κρόμμυα καὶ cκόροδα, ποτὲ μὲν λειο-
τριβηθέντα καταπλαccέcθω, ποτὲ δὲ καέντα προcβαλλέcθω τοῖc δήγ-
μαcιν· ἢ ὄρνιθαc ἀναcχίζονταc περιπτύccειν τῷ πεπληγότι τόπῳ· πρὸc
γὰρ τὴν τοῦ ζῴου θερμαcίαν τὸ πνεῦμα τὸ ἐκ τοῦ δεδηγμένου μέρουc
ὁρμὴν λαμβάνον cυνεξάγει τὸν ἰόν· καὶ πήγανόν τε καὶ καλαμίνθη
καταπλαccόμενα ὠφελεῖ, καὶ cκόροδα μεθ᾽ ἁλόc, καὶ cπύραθοι αἰγόc.
7 ἄκρωc δὲ ποιεῖ πρὸc παντὸc ἰοβόλου δῆγμα χωρὶc ἀcπίδοc ἄcβεcτοc
μετ᾽ ἐλαίου καὶ μέλιτοc ⟨εἰc⟩ κηρωτῆc πάχοc ἐπιτιθεμένη μέχριc ἐcχα-
ρώcεωc, ἢ ἅλαc λεάναc ἀναλαβὼν πίccῃ ὑγρᾷ κατάπλαccε. ἔγνωμεν
δὲ ἐπὶ τῆc Αἰγύπτου τοιοῦτόν τι γιγνόμενον· ὁπόταν οἱ Αἰγύπτιοι
θερίζωcιν, χύτραν ἔχουcιν κατεcκευαcμένην πίccηc ζεούcηc καὶ cφήκωμα
8 προcηρτημένον τῇ χύτρᾳ. ἐπειδὰν οὖν δηχθῇ τιc εἰc κνήμην ἢ εἰc
χεῖρα, ταχέωc οἱ παρατυχόντεc τὸ cφήκωμα βάλλουcιν εἰc τὴν πίccαν
ζέουcαν καὶ περιειλοῦcιν ἅπαξ ἢ δὶc περὶ τὸν πῆχυν ἢ τὴν κνήμην,
μικρὸν ἐπάνω τοῦ δήγματοc, καὶ cφίγγουcιν δύο παρεcτῶτεc ἰcχυρῶc,
καὶ ἐντέμνοντεc τὸν τόπον διὰ τῆc περιθέcεωc τοῦ βρόχου καὶ ἐπι-
9 καίοντεc. ὅταν δὲ αὐτοῖc τοῦτο αὐτάρκωc ἔχειν δοκῇ, τὸν βρόχον
ἀφαιροῦcι καὶ καταπλάccουcι κρομμύοιc ἢ καὶ ἄλλῳ τινὶ τῶν εἰρη-
μένων, ὡc ἂν τῇ ὑγρᾷ πίccῃ μεθ᾽ ἁλῶν λείων θερμοτέρων καταπλαccο-
fol. 271r μένῃ· cπουδαίωc δὲ βοηθεῖ αὐτὴ καινοποιηθεῖcα cυνεχέcτερον. | ἀρή-
γει δὲ αὐτοῖc καὶ κατάντληcιc δι᾽ ὄξουc καὶ θαλάccηc καὶ οὔρου,
10 ἐν ᾧ καλαμίνθα ἐνήψηται. εἰcὶ δὲ καὶ ἔμπλαcτροι δριμύταται, δυνά-
μεναι τὸν ἰὸν ἐπιcπᾶcθαι καὶ διακρατεῖν καὶ διαφορεῖν, ὡc ἡ δι᾽
ἁλῶν ἢ διὰ νίτρου καὶ cινάπεωc καὶ κάχρυοc προcφερομένη. ταῦ-
11 τα δὲ ἑξῆc ῥητέον. cέριc τοίνυν καὶ ἐρείκη καὶ ἀcτραγαλώτη
πινόμενα μετ᾽ ὄξουc πᾶcιν τοῖc θηριοδήκτοιc βοηθεῖ, ὡcαύτωc καὶ
ἄcφαλτοc καὶ πλατάνου χλωρᾶc cφαιρία καθεψηθέντα ἐν κράματι, καὶ
παλιούρου ἀφέψημα καὶ ῥίζα ἀριcτολοχίαc καὶ ἠρύγγηc, καὶ δαφνίδεc
ἑφθαὶ κατεcθιόμεναι, καὶ πέπερι δαψιλέcτερον τρωγόμενον καὶ πήγανον

9 *EXC. Ps. D. 19 (76 sq.).*
20 *SIM. Paul. Aeg. V 2.*

1 τε *addidi e* D 5 καλαμίνθην P: *correxi,* καλαμίνθιν *Krumb.* 6 cιλό-ροδα P: *correxi* 7 ἀcπίδου P: *correxi,* ἀcπιδείου *mavult Krumb.* 8 μεταδιου P: *correxi* εἰc *add. Diels* 11 θερίcωcι D: θερίζουcιν P: *correxi, retineri vult Krumb.* 13 τὸ cφήκωμα D: τριφηκωμα P: *correxi* βάλλουcιν D: βαλοῦcιν P τὸν] τὴν P 15 περιcφίγγουcι *vel* cφίγγουcι D 16 ἐντέμνοντεc D: ἐντεμόν-τεc P 16—17 ἐπικαίοντεc P: ἐπιχέοντεc (*sc.* τὴν πίccαν) *Diels coll.* D 17 δοκεῖ P: *correxi* 19 θερμοτέραν P: *correxi* καταπλάccομεν P: *correxi* 20 καινο-ποιηθεῖcα D: κενοποιηθεῖcα P 21 ὄξουc θερμοῦ D καὶ οὔρου *scripsi coll.* D: θερμοῦ P 22 καλαμίνθη D 23 ἐπιcπᾶcθαι D: ἐπιcπάcαcθαι P 24 προc-φερόμεναι D: προcφερομένων P: *corr. Krumb.* 25 *quae post* ῥητέον *add.* D *(77, 16—78, 8), sine dubio e Philumeno pleniore fluxerunt* ἀcτραγαλώτη P *et* A: ἀcτράγαλοc D 27 πλατάνου D: παcτάνου P 28 ἠρύγγηc D: ἠρυγγίαc P

καὶ ἄνηθον ⟨καὶ⟩ σκόροδα καὶ κρόμμυα καὶ τάριχος δριμύτατος, καὶ 7 11 ὀριγάνου ἀφέψημα πινόμενον σὺν οἴνῳ, καὶ μαράθου καὶ γλήχωνος καὶ καλαμίνθης καὶ πράσου χυλὸς σὺν μελικράτῳ ῥοφούμενος. ταῦτα μὲν 12 ἐκ τῶν φυομένων, ἀπὸ ζῴων δὲ ὠφελίμως λαμβάνονταί τινα· ἐγκέφαλοι μὲν ἀλεκτορίδων ἐσθιόμενοι, πιτύα δὲ λαγωοῦ σὺν οἴνῳ πινομένη, καὶ καστορίου ∠ β̄ τὸν αὐτὸν τρόπον. ἔστι δὲ καὶ ἡ γαλῆ τῶν διαβοήτων ἡ σκελετευομένη· περιφλέγεται δὲ πρῶτον ἐπανασχισθεῖσα τῶν ἐντὸς ἐκκριθέντων, σκελετεύεται δὲ ξηραινομένη ἐν σκιᾷ· δίδοται δὲ ἀπ᾽ αὐτῆς δίδραχμον σὺν οἴνῳ.

ἁρμόζει δὲ τοῖς θηριοδήκτοις καὶ κάθαρσις διὰ κοιλίας καὶ ἱδρωτοποιία οὔρων τε πολλῶν ἔκκρισις. σκευαστὰ δὲ ποτήματα παραδέδοται κοινότερον πρὸς τὰς τῶν πλείστων ἰοβόλων πληγὰς τοιαῦτα· 13 ὀπίου, σμύρνης ἀνὰ ὀβολόν, πεπέρεως ∠ ᾱ, | ἀριστολοχίας ∠ β̄· fol. 271ᵛ ταῦτα μέλιτι ἀναλαμβάνειν καὶ διδόναι μέγεθος κυάμου Αἰγυπτίου μετ᾽ οἴνου· ὁμοίως πηγάνου ἀγρίου σπέρματος, κυμίνου Αἰθιοπικοῦ, 14 χαλβάνης, μελανθίου, ἀριστολοχίας, ταῦτα πάντα λεανθέντα καὶ φυραθέντα χυλῷ εὐζώμου, ἀναπλάττονται τροχίσκοι δραχμαῖοι· διδόναι δὲ ἐξ αὐτῶν μετ᾽ οἴνου ἡμικοτύλιον. ἢ γεντιανῆς ∠ β̄, πεπέρεως καὶ πηγάνου τὸ ἀρκοῦν δίδου λεάνας σὺν οἴνῳ. ταῦτα μὲν περὶ τῶν κοινῇ βοηθημάτων, τὰ δὲ ἰδίως πρὸς ἕκαστον τῶν ἰοβόλων ἑξῆς ἐροῦμεν.

η̄ τοῖς ἐκ θηρίων πληγῆς αἱμορραγοῦσιν.

πρὸς δὲ τὰς ἐκ τῶν πληγῶν αἱμορραγίας ἴσχαιμον ⟨δοτέον⟩ Ἑρμᾶ τοῦ θηριακοῦ· χαλκίτεως, μελαντηρίας, ἀραχνῶν ἀνὰ ℥ ᾱ ὁμοῦ λεάνας χρῶ.

θ̄ περὶ διαίτης καὶ θεραπείας.

τροφαῖς δὲ χρηστέον δριμείαις, εὐαναδότοις, φυσώδεσιν, πληκτικαῖς, οἷον σκορόδοις, κρομμύοις, ταρίχοις, πεπέρει, ῥαφάνοις· οἶνος πολὺς καὶ ἄκρατος. συμφέρει δὲ αὐτοῖς πᾶσα κίνησις καὶ αἰώρα πολλὴ καὶ ἡμέρας καὶ νυκτός.

3 *SIM. Paul. Aeg. V 2.*
21 *SIM. Ael. Pr. (fol. 475ʳ).*

1 καὶ *addidi* 4 λαμβάνονται P: λαμβάνεται D 7 ἡ *corr. Krumb.:* ης P σκε///λετευομένη *(c. 2 litt. del.)* P ἐπανασχεθεῖσα P: σχισθεῖσα D: *correxi* 11 ποτίματα P 13 ὀβολου P: *correxi* 14 ταῦτα δὲ δεῖ *(om. MF)* μέλιτι ἀναλαμβάνειν D 16 φυραθέντα D: ψυυραθέντα P 17 χυλῷ D: χυλοῦ P 18 ἡμικοτύλιον D: ἡμικοτυλίου P 22 δοτέον *addidi ex Pr.* 22—23 Ἑρμᾶ τοῦ *scripsi:* Ἕρματος P, *cf. Aet. VIII 49*

⟨ῑ⟩ ἀντίδοτοι θηριακαὶ ⟨καὶ⟩ ἔμπλαστροι ποιοῦσαι καὶ πρὸς ἄλλα.

10 1 ἀντίδοτος πρώτη, ποιοῦσα κοινῶς πρὸς πάντα τὰ ἑρπετὰ θηρία
καὶ τοὺς λυσσοδήκτους, παρὰ πολλοῖς διατεσσάρων καλουμένη. δίδο-
ται τοῦ φαρμάκου καρύου Ποντικοῦ τὸ μέγεθος, σκορπιοπλήκτοις μὲν
μετ᾽ οἴνου αὐστηροῦ ἅπαξ τῆς ἡμέρας — εἰ δ᾽ ἐπιτείνοι ἡ ὀδύνη,
fol. 272r δίδου καὶ δίς —, πρὸς δὲ λυσσοδήκτους δίδου με|θ᾽ ὕδατος ἡμέραν
παρ᾽ ἡμέραν ἐπὶ ἡμέρας μβ̄, προσμίσγων τῷ φαρμάκῳ λύκιον Ἰνδικόν,
2 τηρῶν καὶ τὰ ἕλκη ἀκατούλωτα. χρῶ δὲ εἰ βούλει ξηρῷ αὐτῷ καὶ
ἐπὶ τῶν ἑλκῶν. ἔστι δὲ ἀριστολοχίας στρογγύλης, γεντιανῆς, δαφνί-
δων, σμύρνης ἀνὰ ⋖ η̄· ἀναλάμβανε μέλιτι Ἀττικῷ ἢ νησιωτικῷ. ἐὰν
δὲ προσβάλῃς πεπέρεως λευκοῦ ⋖ δ̄, ποιεῖ καὶ πρὸς ἡπατικοὺς θαυμα-
3 στῶς μεθ᾽ ὑδρομέλιτος, ἐν δὲ τοῖς παροξυσμοῖς μετὰ γλυκέος. ἄλλη
ἀντίδοτος θηριακή, ποιοῦσα κατ᾽ ἐξοχήν. ἔστι δὲ καστορίου, ὀποῦ
Κυρηναικοῦ, πεπέρεως ἀνὰ ⋖ δ̄, κόστου, νάρδου Ἰνδικ⟨ῆς, κρόκ⟩ου, κεν-
4 ταυρίου χυλοῦ ἀνὰ ⋖ β̄, μέλιτος ἀπέφθου κοτύλης ἥμισυ. ἡ δόσις κα-
ρύου Ποντικοῦ τοῦ ἐντὸς τὸ μέγεθος· δίδου σκορπιοπλήκτοις μετ᾽ οἴνου
κεκραμένου, ἀσπιδοδήκτοις μετ᾽ ὄξους κεκραμένου, ἡπατικοῖς μεθ᾽ ὑδρο-
μέλιτος, πρὸς ὑστερικὰς πνίγας ὁμοίως, πρὸς δὲ τὸ κατᾶξαι ἔμμηνα
ἀπὸ βαλανείου δίδου μετ᾽ οἰνομέλιτος θερμοῦ. ⟨καὶ⟩ κατασπαστικὴν δὲ
δύναμιν ἔχει ὡς τοὺς ἀναδοθέντας ἥλους καταφέρειν· οὕτως οὖν
καὶ πρὸς ὑστερικὰς πνίγας καὶ τὴν τῶν ἐμμήνων κάθαρσιν ποιεῖ.
5 ⟨ἄλλη⟩ ἀντίδοτος σκορπιοπλήκτοις· ἀριστολοχίας μακρᾶς λείας δίδου
κοχλιάριον ἓν μετ᾽ οἴνου ἀκράτου κυάθων τεσσάρων· ἐνεργεῖ σφόδρα.
6 περὶ ἐμπλάστρων. Ζήνων δὲ ὁ Λαοδικεὺς μετὰ τὴν ἑαυτοῦ
fol. 272v θηριακὴν ἀντίδοτον, ἣν ἐγὼ ἐνθάδε οὐ παρέθηκα | διὰ τὸ πολυ-
τελὲς τῆς σκευασίας, παρατίθεται [ἢ] μὲν ἐμπλάστρους τάσδε, φησὶν
δὲ οὕτως· ἐπὶ δὲ τῶν δηγμάτων τὴν ἔμπλαστρον τὴν διὰ θαλάσ-
7 σης καὶ χαμαιλέοντος ἐπιτίθει ἢ τὴν λευκὴν ἢ ἀμφοτέρας μίξας. ἔστι

1 *SIM. Ael. Pr. (fol. 476r).*
13 *SIM. Ael. Pr. (fol. 476v).*
29 *SIM. Ael. Pr. (fol. 475r); Sor. ed. Dietz 134.*

1 *num. cap. addidi* καὶ *addidi* 4 *fort.* δίδοται δὲ 5 καροί ποντικοῦ P: *correxi* 6 δὶς τῆς ἡμέρας *Pr.* 7 διδε P: *correxi* 9 κατουλωτα P: *correxi coll. Pr.* προσμί⟨σ⟩γων τῷ φαρμάκῳ λύκιον Ἰνδικόν, τηρῶν ἀκατούλωτον τὸ ἕλκος 14 ὀποῦ *Pr.*: ὀπίου P 15 ἀνὰ ⟨ᾱ *Pr.* ἰνδικοῦ P: *correxi coll. Pr.* 16 ἀπέφθου] ἀπηφρισμένου *Pr.* 19 πνηγὰς P *(semper)*: *correxi* ἄγει δὲ καὶ ἔμμηνα ἐν λουτρῷ ποθεῖσα *Pr.* 20 καὶ *addidi* 21 ἴους P: *correxi coll. Pr.* ἔχει δὲ καὶ κατασπαστικὴν δύναμιν, ὡς τοὺς ἀναδοθέντας ἥλους καταρρεῖν 23 ἄλλη *addidi* 25 *ad rem cf. Gal. XIV 163* 26 πολυτελευτης P: *correxi* 27 ἢ *delevi* μὴν P: *correxi*

δὲ ἡ μὲν διὰ χαμαιλέοντος ἥδε· λιθαργύρου /ρ α̅ Γο β̅, ἁλὸς Ἀμμωνια- **10** 7
κοῦ ∢ α̅, χαμαιλέοντος μέλανος ῥίζης Γο δ̅, θαλάσσης ϗ γ̅, ἐλαίου
παλαιοῦ ℨ α̅· ἕψε λιθάργυρον, ἔλαιον, θάλασσαν, ἕως συστραφῇ, εἶτα καθελὼν ἀπὸ τοῦ πυρὸς πρόσβαλλε λεῖον τὸν χαμαιλέοντα ἐπιπάσσων καὶ ἐπίθες ἐπὶ μαλακοῦ πυρός, ὅπως τὴν δύναμιν ὁ
χαμαιλέων προσδῷ τῷ φαρμάκῳ. ἄλλη ⟨ἡ λευκὴ⟩ πρὸς ὃ θέλεις 8
ῥῆξαι ἢ διαφορῆσαι ἢ ἐπισπάσασθαι· λιθαργύρου /ρ α̅, ψιμυθίου /ρ β̅, πιτυίνης /ρ α̅, ἐλαίου παλαιοῦ /ρ γ̅, κηροῦ /ρ ϛ̅, Ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης ἀνὰ Γο β̅· ἕψε ἔλαιον, ψιμύθιον, λιθάργυρον, ἕως ἀμόλυντον
γένηται· εἶτα τὰ ἄλλα ὕστερον πρόσβαλλε καὶ χρῶ πρὸς πᾶσαν ἀπό- 9
στασιν καὶ φύματα κατὰ μαστούς, φύγεθλα, κόλπους, σύριγγας, παρωτίδας, ἄνθρακας. ταύταις χρῶ ἐπὶ τῶν δηγμάτων ἀμφοτέραις. ἔστι δὲ αὕτη ἀφλέγμαντος ἐπὶ παντὸς ἰοῦ, καὶ ἔστιν ἀνέκδοτος ἡ τοιαύτη δύναμις.

ια̅ περὶ σφηκῶν καὶ μελισσῶν.

προδιεσαφήνισα δὲ τὰ παρακολουθοῦντα ταῖς τούτων πληγαῖς 1
σημεῖα οὐχὶ τῷ μεγάλην εἶναι τὴν δύναμιν ἢ ἐπικίνδυνον τὴν τούτων πληγήν, ἀλλ' ὑπὲρ τοῦ τοὺς πεπληγότας ἀπὸ τούτων μὴ τεταράχθαι διὰ τὴν ἀλγηδόνα, ὡς δοκεῖν ὑπό τινος τῶν χαλεπῶν πεπλη-
γέναι. | τοῖς τοίνυν πεπληγόσιν ὑπὸ μελισσῶν παρακολουθεῖ ⟨τὸ⟩ 2 fol. 273ʳ
τὴν πληγὴν ἀλγεῖν, ἐρυθρὸν εἶναι τὸν τόπον, ἐπαίρεσθαι τὰ κύκλῳ, τὸ κέντρον ἐγκεῖσθαι τῷ πλήγματι, τοῖς δὲ ὑπὸ τῶν σφηκῶν πάλιν τὰ ὅμοια μετ' ἐπιτάσεως πολλῆς, πλὴν ⟨τὸ⟩ κέντρον οὐκ ἐνυπάρχει.
βοηθεῖται δὲ τὰ ὑπὸ τούτων δήγματα πηλῷ ἢ βολβίτῳ κατα- 3
χριόμενα μετ' ὀξυκράτου πεφυραμένῳ, ἢ μαλάχης φύλλα ὁμοίως ὀξυκράτῳ συλλειωθέντα, ἢ κρίθινον ἄλευρον σὺν ὄξει, καὶ συκῆς ὀπὸς ἐνσταζόμενος τοῖς δήγμασιν, καὶ ἡλιοτροπίου φύλλα λεῖα καταπασσό-
μενα, ἢ καὶ αὐτὸ τὸ σήσαμον τρίψας μεθ' ὕδατος κατάπλασσε. σφραγί- 4
ζονται δὲ ⟨καὶ⟩ σφραγῖδι σιδηρᾷ πρὸς τὸ μὴ αὔξειν τὴν φλεγμονὴν

15 *SIM. Nic. Th. 805sq.; Ael. Pr. (fol. 477ᵛ); Geop. XV 5.*
15 *EXC. Ps. D. 20 (80); Aet. XIII 11; Paul Aeg. V 5 (unde Theoph. Nonn. 264); Orib. V 680.*

1 λιθαργύρου Γο ιδ̅, ἁλὸς ἀμμωνιακοῦ Γο ιβ̅ *Pr.* βαλος P: *correxi* 6 ἡ λευκὴ *addidi ex Pr.* 8 ἐλαίου παλαιοῦ /ρ ϛ̅, κηροῦ /ρ ϛ̅ ἢ Γο ϛ̅ *Pr.* 11 κατὰ *scripsi:* καὶ P 12 ταύτας P: *correxi* 13 ἀφλέγματος P: *correxi* 16 προδιεσαφήνισα δὲ *scripsi:* προδιασαφήσαντες P 18 ἀπὸ P, *fort.* ὑπὸ 19 δοκεῖ P: *corr. Diels* 20 πληγεῖσιν *Aet.:* πεπληγείσιν P: *correxi* τὸ *addidi ex* A *Pr.* 21 καὶ οἰδεῖν καὶ ἐπαίρεσθαι τὰ κύκλῳ *Pr.:* μετὰ οἰδήματος τῶν κύκλῳ μερῶν *Aet.* 22 τῶν *fort. del. ex Aet.* 23 τὸ *addidi ex Aet.* 25 πεφυραμένα P: *correxi* ἢ συκαμίνου τοῖς φύλλοις λείοις *add.* A 28 σφραγίζοντες P: σφράγιζε *Pr.: correxi* 29 καὶ *addidi e Pr.*

11 **4** ἅμα τῷ πληγῆναι· καὶ πυρία διὰ ἅλμης ἢ θαλάσσης ὠφελεῖ. προπότιζε
δὲ δάφνης ἁπαλοῖς φύλλοις ὅσον <β̄ μετ᾽ οἴνου αὐστηροῦ ὅσον ἡμικο-
τύλιον.

ιβ̄ περὶ [μυῶν καὶ] μυιῶν καὶ κωνώπων καὶ ψύλλων.

1 ἐπειδὴ δὲ καὶ ταῦτα λυμαίνεται τῶν ἀνθρώπων τὰ σώματα, καὶ
περὶ τούτων ὀλίγα ἀναγράψομαι. κώνωπες οὖν ἀποθνήσκουσιν κεδρίνων
πρισμάτων μετὰ χαλκάνθου ὑποθυμιωμένων. ἐὰν δὲ μελάνθιον ζέσας
ἐν ἐλαίῳ ⟨καὶ⟩ προσμίξας τὴν χάλκανθον συγχρίσῃ, οὐ προσεγγίζουσι
2 μυῖαι οὐδὲ κώνωπες. πρὸς δὲ τὸ ἀνελεῖν μυίας ὑοσκυάμου σπέρμα
καὶ ἐλλέβορον μέλανα καὶ λιθάργυρον λείου μεθ᾽ ὕδατος καὶ ἀπόθου·
fol. 273v ἐπὶ δὲ τῆς χρείας κνισώσας βουτύρῳ σκόρπισον, ἢ κυνοκράμβης |
τὴν ῥίζαν λείαν μετὰ στέατος. πρὸς κώνωπας δὲ ἀψίνθιον, μελάνθιον,
χάλκανθον ἴσα σὺν ἐλαίῳ ἑψήσας συγχρίου ἢ ξηρὰ ἐπὶ βολβίτων θυμία.
3 ἄλλο πρὸς κώνωπας· ὀπὸν Συριακὸν μετ᾽ ὄξους συγχρίου. ἄλλο πρὸς
κώνωπας· ἐλλέβορον, ἀψίνθιον σὺν ἐλαίῳ ῥαφανίνῳ [καὶ] συγχρίου.
μυίας δὲ φυγαδεύει χάλκανθος θυμιωμένη· μυίας δὲ ὄλλυσιν ἐλλέβορος
λευκὸς λεῖος σὺν γάλακτι φυραθεὶς καὶ ⟨ἐν⟩ διαφόροις ἀποτεθεὶς τό-
4 ποις. ψύλλοις ὀλέθριον· ῥοδοδάφνης ζεσθείσης θαλάσσῃ ἢ ἅλμῃ τὸ
ἀπόζεμα ῥαινόμενον. ⟨ἄλλο πρὸς τὸ⟩ κώνωπας καὶ ψύλλους διολέσαι·
λίβανον καὶ μελάνθιον θυμία. ἄλλο· ῥίζαν κυάμου Αἰγυπτίου βρέξον
ὕδατι καὶ ῥᾶνον.

ιγ̄ ⟨πρὸς ἀσ⟩καλαβώτου δῆγμα.

οἱ δὲ ἀπὸ τοῦ ἀσκαλαβώτου δηχθέντες συντόνως ἀλγοῦσιν καὶ τὸ δῆγμα πελιὸν ἴσχουσιν. βοηθοῦνται δὲ παραχρῆμα καταπλασσόμενοι τὴν πληγὴν κρομμύοις, σκορόδοις, ἔτι καὶ ἐσθίοντες αὐτά, καὶ οἶνον ἄκρατον ἐπιρροφοῦντες· ἢ σήσαμον λεάνας μεθ᾽ ὕδατος κατάπλασσε ἢ μελάνθιον ὁμοίως.

4 *SIM. Geop. XIII 11. 12. 15; Ael. Pr. (fol. 484r); Theoph. Nonn. 265 sq.*
4 *EXC. Aet. XIII 41—43.*
22 *SIM. Nic. Th. 483 sq.; Ael. Pr. (fol. 477v).*
22 *EXC. Aet. XIII 12; Paul. Aeg. V 10. 11.*

1 πληγῆναι *Pr.*: ληφθῆναι P 4 μυῶν καὶ *delevi* ψύλῶν *(sic)* P 6 ἀνα γράφομαι P: ἀναγράψω *Aet.*: *correxi* 8 καὶ *addidi* συγχρίσῃ P: *correxi* 9 μύαι P *(semper pro* μυῖαι*)*: *correxi* 15 καὶ *delevi, nisi praestat* ἕψει καὶ 16 θυμιώμενον P: *correxi* 17 λεῖον P: *correxi* ἐν *addidi* 18 *fort.* ἄλλο ψύλλοις 19 *post* ῥαινόμενον *spat. rel.* P ἄλλο πρὸς τὸ *addidi* διολέσαι (ες *in ras.*) P 22 πρὸς ἀς *addidi coll. ind.* 23 ἀπὸ P, *fort.* ὑπὸ καλα- βώτου P 24 δῆγμα *Aet.* A: σῶμα P *medicamina e Numenio sumpta esse docet Pr.* Νουμήνιος δὲ ὁ θηριακὸς παρῄνει παραχρῆμα καταπλάττειν τὴν πληγὴν κρομμύοις ἢ σκορόδοις ἢ σησάμῳ λείῳ (λείωσον *libri*) μεθ᾽ ὕδατος ἢ μελανθίῳ ὁμοίως· ἐσθίειν δὲ κρόμμυα, σκόροδα καὶ οἶνον ἄκρατον ἐπιρροφεῖν

ιδ πρὸς σκορπίου πλῆγμα περίαπτα καὶ ἀντιπαθῆ πρὸς τὸ αὐτό.

ἐκ τῶν Ἀρχιγένους· τῶν δὲ σκορπίων διαφοραὶ μὲν πλείους, **14** 1
τὰ αὐτὰ δὲ πᾶσιν παρακολουθεῖ, ὅθεν ἐπὶ τὰς σημειώσεις τῶν πλήξεων
καὶ τὰς θεραπείας τραπησόμεθα. παρέπεται τοῖς πληγεῖσιν πόνος σφο-
δρότατος περὶ τὴν πληγήν, ψῦξις ⟨καὶ⟩ νάρκα περὶ ὅλον τὸ σῶμα, | fol. 274r
ψυχρὸς ἱδρώς, ἔπαρσις ἐν ταῖς μασχάλαις, τοῖς δὲ περὶ τὰ κάτω ἐν
τοῖς βουβῶσιν. τοῖς δὲ μὴ ἐλαφρῶς τυπτομένοις τοιαῦτά τινα παρ- 2
ακολουθεῖ· καῦσος [καὶ] περὶ τὴν πληγὴν ὡς ἐπὶ πυρικαύτων, παρα-
κοπαὶ σφυγμός τε δι᾽ ὅλου τοῦ σώματος, μυρμηκίασις περὶ τὰ
χείλη καὶ ὅλον τὸ σῶμα, ὡς ῥανίσιν δοκεῖν καταρραντίζεσθαι, σκλη-
ρότης ἄρθρων, προσώπου διαστροφή, λῆμαι περὶ τοὺς ὀφθαλμοὺς κολ-
λώδεις, δάκρυα γλίσχρα, ῥίγη συνεχῆ, πρόπτωσις ἕδρας καὶ αἰδοίου
⟨ἔντασις⟩· ἐνίοις ⟨δὲ καὶ⟩ συνεχεῖς ἐρυγαί, γλώσσης πάχος καὶ σκλη- 3
ρότης, ὀδόντων συνέρεισις, ἀφρισμὸς δαψιλής, ἔμετοι, λυγμοί, σπασμοί,
τέτανοι, ὀπισθότονοι. καὶ ταῦτα μὲν τὰ παρακολουθοῦντα τοῖς πεπλη-
γόσι σημεῖα.

βοηθοῦνται δὲ τοῖς ὑπογεγραμμένοις παραχρῆμα· συκῆς ὀπὸς 4
εἰς τὸ πλῆγμα ἐνσαχθείς, ἢ αὐτὸς ὁ πλήξας σκορπίος ἐπιτεθεὶς
κατὰ ἀντιπάθειάν τινα ἄκρως βοηθεῖ, ἢ λεῖον ἅλας μετὰ λινοσπέρ-
μου, ⟨ἢ⟩ ἀλθαίας ὁ καρπός, ἢ θεῖον ἄπυρον ἀναληφθὲν ῥητίνῃ τερ-
μινθίνῃ καὶ ὡς ἐμπλάστριον ἐπιτεθέν· ἢ χαλβάνη πλατυνθεῖσα σπλη- 5
νίου τύπον, ἢ καλαμίνθη λεία ὑδρηρὰ καταπλασσομένη, καὶ ὠμήλυσις
ἐν οἴνῳ σκευασθεῖσα ἐν ἀφεψήματι πηγάνου, ἢ ῥύπος ἄγγους
οὐρηροῦ καταχριόμενος, ἢ ἀριστολοχίας ῥίζα· ἢ Κυρηναικῷ ὀπῷ
ἢ ἅλσὶν μετὰ σταφίδων κατάπλασσε ἢ μετ᾽ ἐλαίου λείοις ἀνάτριβε. 6
ποτήμασιν δὲ χρηστέον ἀνυσιμωτάτοις· ἀριστολοχίας ∠ β̅, μάλιστα τοῦ

1 *SIM. Ps. D. 6 (68); Paul. Aeg. V 8 (unde Theoph. Nonn. 269); Ael. Pr. (fol. 478r), cf. Nic. Th. 769sq. (ex Apollod.); Pl. n. h. XI 87; Geop. XIII 9.*
1 *EXC. Aet. XIII 19.*
18 *SIM. Ael. Pr. (478r); D. eup. II 121. 122 (319sq.).*
18 *EXC. Ps. D. 23 (82); Paul Aeg. V 8 (unde Theoph. Nonn. 269).*

5 τραπηόμενοι P: *correxi* 6 καὶ *addidi ex Aet.* νάρκα P: νάρκη *Aet.* 9 καὶ *om Aet.: delevi* ὥσπερκαυτον P: *correxi coll. Aet.* τοῖς δὲ εὐτονώτερον (*sc.* πληγεῖσι) καῦσις περὶ τὴν πληγὴν ὡς ἐπὶ τῶν πυρικαύτων παρακοπαῖς P: *correxi* 10 περί τε *Pr.* 12 κολλώδεις *Pr. Aet.:* κολλώδης P 13 γλίσχρα *Pr.:* γλίσχρων P: δάκρυον γλίσχρον *Aet.* 14 ἔντασις *addidi e Pr.* ἐνίους P: *correxi* δὲ καὶ *addidi* 15 σπασμοὶ ὀπισθοτονικοῖς ὅμοιοι *Aet.* 16 τοῖς *bis habet* P 19 ἐνσαχθείς P: ἐνσταχθείς D σκορπίος λεῖος D, *cf. D. eup. II 122 (321)* ποιεῖ καὶ αὐτὸς ὁ σκορπίος λεῖος ἐπιπλασθείς. *Cels. V 27, 5. Pl. n. h. XI 90. XXIX 91* 21 ἢ *addidi* 22 πλατυνθεῖσα σπληνίου τύπῳ (τύπον FV) D 25 ῥίζαν P: *correxi*

14 6 φλοιοῦ cὺν οἴνῳ, γεντιανὴ ⟨κεκομμένη⟩ καὶ γλήχων ἐπικαθηψη-
fol. 274v μένη, καὶ δαφνίδες ἀριθμῷ δέκα λεῖαι, καὶ καλα|μίνθα ἐπὶ πολὺ
ἐνεψηθεῖcα ὀξυκράτῳ, ἢ κυπάριccος μετ᾽ οἴνου, ἢ πήγανον ὡcαύτωc·
7 καὶ cίλφιον, εἰ παρείη, καὶ ὁ τῆc τριφύλλου καρπὸc πινόμενοc, καὶ
τὸ τοῦ ὠκίμου cπέρμα, λουτρῶν τε cυνεχὴc χρῆcιc μετὰ πολλῆc τῆc
ἱδρώcεωc, καὶ οἰνοποcία ζωροτέρα τῷ κράματι. ἀντιδότιον cκορ-
πιοπλήκτοιc δόκιμον· ἀριcτολοχίαc μακρᾶc, μελανθίου, πάνακοc
ῥίζηc, πηγάνου ἀγρίου cπέρματοc ἀνα ⋞ δ̄· ἡ δόcιc ⋞ β̄ μετ᾽ οἴνου
8 ἀκράτου. ἄλλη ποιοῦcα ⟨καὶ⟩ πρὸc τριταίουc καὶ τεταρταίουc καὶ
ἀμφημερινούc· ὀπίου, ὀποπάνακοc, καcτορίου, ὑοcκυάμου cπέρματα,
δαύκου cπέρμα ἀνὰ ⋞ ᾱ λεῖα ποιήcαc προcμίcγε ὀλίγον μέλιτοc καὶ
δίδου ἀνδρὶ ὁλκὰc τρεῖc, παιδίοιc δὲ † χρῶ ὡc παραδόξωc ποιοῦντι
μετ᾽ οἰνομέλιτοc πρὸ ὥραc τῆc λήψεωc † αὐτῇ cκορπιοπλήκτοιc οὐ
9 προcγέγραπται. τοῖc δὲ ὑπὸ cκορπίου πεπληγόcιν ἑλενίου ῥίζαν δι-
δόαcι μαcᾶcθαι, ἕωc ἄπονοι γένωνται· κἂν ἔχῃ δέ τιc αὐτὸ μετὰ
χεῖραc, οὐκ ἀδικήcει ὁ cκορπίοc· ἢ εὑρὼν ἀcκαλαβώτην φόρει, καὶ οὐ
πληγήcῃ. ἄλλο πρὸc τὸ μὴ πληγῆναι ὑπὸ cκορπίου· φοῦ βοτάνηc
ἄνθη ϛ̄ καὶ μελάνθιον ὀλίγον ⟨καὶ⟩ προπόλεωc ὀλίγον· ταῦτα μίξαc
10 ἐνδήcαc τε εἰc ῥάκοc ἐρεοῦν περίαπτε. ἐὰν δὲ θέλῃc πειρᾶcαι, γρά-
ψον ἐπὶ τῆc γῆc γῦρον, καὶ βάλε εἰc τὸ μέcον cκορπίον cὺν τῷ
περιάπτῳ, καὶ οὐκ ἐξελεύcεται ὁ cκορπίοc τοῦ γύρου.

ιε φαλαγγίων πόcα γένη, καὶ βοηθήματα πρὸc ταῦτα.

1 τῶν δὲ φαλαγγίων γένη μὲν πλείονα, ἃ δὲ κατὰ τὸ πλεῖcτον
fol. 275r ἱcτορεῖται παρὰ τοῖc θηριακοῖc, ἔcτιν ἓξ τὸν ἀριθμόν· | τὸ μὲν γὰρ

6 *SIM.* *Ael. Pr. (fol. 479r).*
16 *SIM.* *Ael. Pr. l. s. Pl. n. h. XI 90. XXIX 90. D. cup. II 122 (321).*
22 *SIM.* *Nic. Th. 715 sq. (ex Apollod.); Pl. n. h. XXIX 84 sq. (e Xenocr.-Iuba-Apollod.); Ael. n. a. III 36 (e Sostr.-Apollod.); Ael. Pr. (fol. 479r).*
22 *EXC.* *Aet. XIII 18; Theoph. Nonn. 270.*

1 *fort.* καὶ γεντιανὴ κεκομμένη *addidi e* DA ἐπικαθηψημένη P: ἐφ᾽ ἱκανὸν καθεψημένη A 2 καλαλαμινθα *(in conf. pag.)* P 3 ἐψηθεῖcα P: *correxi,* ἑψηθεῖcα μετ᾽ ὀξυκράτου A 4 *post* παρείη *add.* μὴ παρόντοc δέ, τῷ παρθικῷ χρηcτέον ὀπῷ AD *post* τριφύλλου *fort.* πόαc *addendum* 8 ⋞ δ̄ *scripsi:* ⋞ ᾱ P, *cf. Pr.* ἀριcτολοχίαc μακρᾶc, μελάνθηc, ὀποπάνακοc ῥίζηc, πηγάνου ἀγρίου cπέρμα⟨τοc⟩ ἀνὰ ⋞ δ̄ 9 *post* ἀκράτου *add.* κοτύληc μιᾶc *Pr.* καὶ *(pr.) addidi* 11 ὀλίγου P: *correxi* 12 *post* παιδίοιc δὲ *habet* P ὀχρωωc: *suspicor* ὁλκὴν μίαν. τούτῳ 13 *post* λήψεωc *hiat oratio, fort. haec supplenda* ⟨περὶ δὲ τῆc δόcεωc⟩ αὐτῆc 16 εὑρὼν ἀcκαλαβώτην *scripsi:* εφουν δη καλαβώτην P, *cf. Pr.* κατάπλαcον δὲ τῇ πληγῇ καὶ τὸν cκορπίον τὸν πλήξαντα, εἰ εὑρεθείη, ἢ ἀcκαλαβώτην ἀνάcχιcον καὶ ἐπίθεc τῇ πληγῇ 17 φοῦ] ῥοῦ P: *correxi coll. Diosc. I 11* 18 καὶ *(alt.) addidi* 21 γύρου] πυροῦ P: *correxi* 22 ταau *(τ superscr.)* P: *correxi* 24 παρὰ τοῖc θηριακοῖc *post* ἓξ *habet* P: *transposui coll. Aet.* ἃ δὲ κατὰ τὸ πλεῖcτον ἱcτόρηται τοῖc τὰ θηριακὰ γράψαcιν, εἰcὶν ἓξ τὸν ἀριθμόν

αὐτῶν καλεῖται ῥάγιον, τὸ δὲ λύκος, τὸ δὲ μυρμήκιον, τὸ δὲ κρανο- **15** 1
κολάπτης, τὸ δὲ σκληροκέφαλον, τὸ δὲ σκωλήκιον. τὸ μὲν οὖν ῥάγιον 2
σχήματι στρογγύλον ἐστί, χρώματι δὲ μέλαν — ὡμοίωται γὰρ ῥαγὶ
σταφυλῆς μελαίνης —, πόδας δὲ ἔχει ⟨ἓξ⟩ ἐξ ἑκατέρου μέρους μικρο-
τάτους, τὸ δὲ στόμα ὑπὸ τὴν κοιλίαν. ὁ δὲ λύκος δεύτερος ἐν τοῖς
ἀραχνίοις διατρίβων εὑρίσκεται ⟨καὶ⟩ ἐπιλαμβανόμενος τῶν μυιῶν καὶ
ἐσθίων αὐτάς, σῶμα δὲ ἔχει πλατύ, περιφερές, τὰ δὲ κατὰ τὸν αὐχένα
αὐτοῦ μέρη ἐγκεχάρακται, ἀπὸ δὲ τοῦ στόματος ἀποφύσεις ἔχει λείας
τρεῖς. τὸ δὲ μυρμήκιον τρίτον ὂν ὡμοίωται μύρμηκι μεγάλῳ, αἰθαλῶδες 3
κατὰ χρόαν· ἐντετύπωται δέ τινα ἐν τῷ σώματι αὐτοῦ ὡς ἄστρα, μᾶλλον
δὲ κατὰ ⟨τὰ⟩ νῶτα, ὡς καὶ Νίκανδρος (Th. 748) μαρτυρεῖ οὕτως·

πυρόειν, ἄζῃ γε μὲν εἴσατο μορφήν,
πάντοθεν ἀστερόεντι περιστιγὲς εὐρέι νώτῳ.

τὸ σκληροκέφαλον δὲ τέταρτον ⟨ὂν κεφαλὴν ἔχει⟩ πετρώδη καὶ 4
ἀπόσκληρον, ⟨καὶ⟩ καθ᾽ ὅλον τὸ σῶμα περιγέγραπται ἐμφερῶς
⟨τοῖς⟩ ζῴοις ἐκείνοις τοῖς περιιπταμένοις περὶ τοὺς λύχνους. τὸ
δὲ σκωλήκιον πέμπτον ἐπίμηκες καὶ ὑπόσπιλον, καὶ μάλιστα κατὰ τὴν
κεφαλήν. τὸ δὲ ἕκτον κρανοκολάπτης· τοῦτο ὑπόμηκές ἐστι καὶ ἔγχλω- 5
ρον, τὸ δὲ κέντρον ἔχει ὑπὸ τὸν τράχηλον· τοῦτο προσπῖπτον τοὺς
κατὰ τὴν κεφαλὴν πλήσσει τόπους.

τὰ μὲν οὖν εἴδη τῶν φαλαγγίων ταῦτα, τὰ δὲ παρακολουθοῦντα τοῖς 6
πεπληγόσιν ὑπ᾽ αὐτῶν κοινά· τὸ δὲ δῆγμα λεπτὸν καὶ δυσθεώρητον, οἴδημα,
πελίωμα, τισὶν δὲ καὶ ἐρύθημα, ψῦχος περὶ γόνατα καὶ ὀσφὺν καὶ ὠμο-
πλάτας· ἔστι δὲ ὅτε ⟨καὶ⟩ καθ᾽ ὅλον τὸ σῶμα βάρος ἐστίν, ἔτι τε πόνος
σύν⟨τονος⟩, τρόμος, ὠχρίασις, ἀγρυπνία, τισὶν δὲ καὶ ἔντασις | καυλοῦ fol. 275v
καὶ κνησμὸς περὶ τὴν πληγήν, ἐνίοτε δὲ καὶ περὶ τὰς κνήμας, ὄμματα 7
ἔνυγρα καὶ δακρύον⟨τα⟩ καὶ κοῖλα διὰ τὸ τὴν κοιλίαν ἀνωμάλως
ἐπῆρθαι. οἰδεῖ ὅλον τὸ σῶμα πρόσωπόν τε καὶ μάλιστα τὰ περὶ τὴν
γλῶτταν, ἀσάφειά τε γίνεται φράσεως, τισὶν δὲ ⟨καὶ⟩ δυσουρία, ἐμεῖν

21 *SIM. Ael. Pr. l. s.*
29 *SIM. Ps. D. 4 (66) Paul. Aeg. V 6; Theoph. Nonn. 270.*

3 ὁμοίωται *(semper)* P: *correxi* 4 ἓξ *addidi ex Aet.: spat. rel.* P 5 *fort.* δεύτερος ὤν, *nisi praestat* ὁ δὲ λύκος λεγόμενος *coll. Aet.* 6 καὶ *addidi ex Aet.* 7 κατὰ τὸν αὐχένα *Aet.:* καταταυχένα P 9 τρεῖς] γ̄ P τρί-τον] γ̄ P 10 τὴν χρόαν *Aet.* 11 τὰ *addidi ex Aet.* 12 πυροειςαξη P: *correxi e Nic.* 13 πάντοθε δ᾽ ἀστερόεντι *O. Schneider* 14 δ̄ ητερωδη P: *correxi coll. Aet.* τὸ δὲ πέμπτον, σκληροκέφαλον λεγόμενον, κεφαλὴν ἔχει πε-τρώδη 15 καὶ *addidi ex Aet.* ἐμφερὲς P: *correxi* 16 τοῖς *addidi ex Aet.* 17 ε̄ P *fort.* πέμπτον ὂν 18 ϛ̄ P 21 εἴδη *Aet.:* ἤδη P 22 δὲ *fort. delendum* 24 καὶ *addidi* 25 σύντονος, τρόμος *Aet:* συν-τρομος P 27 δάκρυον P: *correxi:* ὀφθαλμοὶ ἔνυγροι καὶ δακρύοντες A 28 τε *Aet.*: δὲ P 29 καὶ *addidi ex Aet.* ἐμεῖν P: ἔμετος *Aet., fort. recte*

15 7 ὑδατώδη, ἀραχνίοις ὅμοια, ἔστι δὲ ὅτε δι᾽ οὔρων καὶ κατὰ κοι-
8 λίαν τὰ αὐτὰ ἀποκρίνεται· πολλάκις καὶ τρόμος δι᾽ ὅλου τοῦ σώματος,
καὶ σύντασις ⟨περὶ τὰς⟩ ἰγνύας ἐοικυῖα σπασμῷ, καὶ περὶ τὸν στόμα-
χον δηγμὸς ἰσχυρός, καὶ ψυχρὸς ἱδρὼς καθ᾽ ὅλην τὴν ἐπιφάνειαν ἐκ-
κρίνεται. συμβαίνει δὲ καθιεμένους εἰς θερμὸν ἀπόνους γίνεσθαι, μετὰ
δὲ τὴν ἐξαίρεσιν συντόνως ἀλγεῖ⟨ν⟩, τοῖς δὲ πρεσβυτέροις ἐφ᾽ ἱκανὸν
9 τὰ μόρια χαλᾶσθαι καὶ μὴ ἐντείνεσθαι. κοινὰ μὲν οὖν ταῦτα παρέ-
πεται· τισὶν δὲ ⟨καὶ⟩ κεφαλὴν ἀλγεῖν καὶ σκοτοῦσθαι, κρανοκολάπτου
δὲ πλήξαντος ῥῖγος σύντονον, ὡς παρακόπτειν, καρδιαλγεῖν, ῥιπτάζεσθαι.
10 βοηθοῦνται δὲ πάντες οἱ φαλαγγιόδηκτοι λουτρῷ συνεχεῖ θερμῷ·
καταντλεῖν δὲ δεῖ τὴν πληγὴν ἀφεψήματι τριφύλλου καὶ ἐλαίου θερ-
μοῦ. ἐπιτίθει δὲ τέφραν συκίνην σὺν ἁλσὶν λείοις μετ᾽ οἴνου φυράσας,
11 ἢ ἀριστολοχίαν σὺν κριθίνῳ ἀλεύρῳ καὶ ὄξει δεύσας. κατάντλει δὲ
θερμοτέρᾳ θαλάσσῃ ἢ ἅλμῃ τὰ ἕλκη, ἢ μελισσοφύλλου ἀφεψήματι —
ταύτης δὲ καὶ τὰ φύλλα ἐπιπλάσσειν —, ἢ βολβοῖς ἢ πολυγόνῳ ἢ
πράσοις ἢ πιτύροις ἀνεζεσμένοις ὄξει ἢ κριθίνοις ἀλεύροις συγκαθηψη-
μένων φύλλων δάφνης σὺν οἴνῳ, ἢ σπόγγον καινὸν εἰς ὄξος ἀπο-
12 βάπτων πυρία τὴν πληγήν. πότιζε δὲ ἀβροτόνου ⟨τὸ⟩ σπέρμα καὶ
fol. 276r ἄνη|θον καὶ ἀριστολοχίαν καὶ ἐρέβινθον ἄγριον καὶ κύμινον Αἰθιο-
πικὸν καὶ κεδρίδας λείας καὶ πλατάνου φλοιὸν καὶ τὸ σπέρμα τῆς
τριφύλλου πόας, ἑκάστου κατ᾽ ἰδίαν ⟨δίδοται⟩ ∠ β̄ μετ᾽ οἴνου κυ ᾱ·
13 ὡσαύτως δὲ καὶ μυρίκης ⟨ὁ⟩ καρπὸς καὶ χαμαιπίτυος καὶ τῶν χλω-
ρῶν τῆς κυπαρίσσου σφαιρίων τὸ ἀφέψημα κιρνάμενον μετ᾽ οἴνου, ἢ
14 πυρέθρου λείου ∠ ᾱ ὁμοίως πινομένη. φασὶν δέ τινες ⟨καὶ⟩ καρκίνον
ποτάμιον χυλισθέντα μετὰ γάλακτος, καὶ προσλαβόντα σελίνου σπέρμα,
παραχρῆμα τῶν ὀχληρῶν ἀπαλλάσσειν. ἢ πέπερι τρίψας ἐν οἴνῳ κο ᾱ
πάχος σύμμετρον ποιῶν δίδου πιεῖν.

10 *SIM.* *Ael. Pr. l. s.*
12 *EXC.* *Ps. D. 21 (80); Aet. XIII 19; Paul. Aeg. V 6; Theoph. Nonn. 270.*

1 ὑδατώδη P: ὑδάτων ἢ A ὅμοια P: προσεοικότων A καὶ δι᾽ οὔρων A: *fort. recte* 2 τρομὰς P: *correxi* 3 περὶ τὰς *addidi e* AD ἐοικυίας P: *correxi* 6 ἀλγεῖ P: *correxi:* ἀλγοῦσι τὸ αἰδοῖον *Aet.* 8 καὶ *addidi, fort.* ⟨τὸ⟩ κεφαλὴν ἀλγεῖν *ad rem cf. Aet.* κοινὰ μὲν οὖν ταῦτα παρέπεται· κρανοκολάπτου δὲ πλήξαντος ἡ κεφαλὴ μᾶλλον ἀλγεῖ καὶ σκοτώματα παρέπεται, ῥίγος σύντονον, παρακοπή, ῥιπτασμός, καρδιωγμός 11 ἐλαίῳ θερμῷ *Pr.* 14 ἅλμη *scripsi:* ἄλλη P 16 πιτύροις *Pr.:* τυροῖς P ἀνεξεσμένοις P: ἐξεσμένοις *Pr.: correxi* 17 *post* ὄξος *add.* θερμόν A: σπόγγοι ἐξ ὀξυκράτου θερμοῦ προστιθέμενοι *Pr.* 18 τὸ *addidi ex* A 19 ἄνηθον A: ἀνίθιον P 20 κεδρίας *(λ superscr. pr. m.)* P 21 τριφελλου P *post* ἰδίαν *spat. rel.* P δίδοται *addidi e* D τούτων δὲ ἑκάστου κατ᾽ ἰδίαν δύο δραχμῶν μετ᾽ οἴνου κοτύλης μιᾶς δίδοται *(sic F)* κυ ᾱ P *Pr.:* κοτύλης μιᾶς D (FM, κύαθον ἕνα V) 22 ὁ *addidi e* D 24 λείου] ειου P: *correxi* καὶ *addidi e* D 26 πέπερι] περι P: *correxi*

ἀντίδοτος ποιοῦσα πρὸς φαλαγγιοδήκτους καὶ τρυγόνας καὶ **15** **15**
δράκοντας θαλασσίους, καὶ σμυραίνης καὶ πάντων τῶν τοιούτων γενῶν
πληγάς. ἐστὶ δὲ ἀρίστη· ἀριστολοχίας, ἴρεως Ἰλλυρικῆς, ναρδοστάχυος,
πυρέθρου, δαύκου σπέρματος, βρυωνίας ῥίζης, γλυκυσίδης ῥίζης, ἐλ-
λεβόρου μέλανος, ἀφρονίτρου, κυμίνου, κονύζης, σταφίδος ἀγρίας,
δαφνίδων, κυτίνων, πετροσελίνου σπέρματος, κιναμώμου, σπονδυλίου, **16**
ἁλῶν, πιτύας λαγωοῦ, καρκίνου ποταμίου, χαλβάνης, ὀποῦ μήκωνος,
βαλσάμου· πάντων ἴσα βαλὼν εἰς ὅλμον, κόψας καὶ σήσας, ἀνάπλασσε
μετὰ καππάρεως χυλοῦ δραχμιαίους τροχίσκους, καὶ δίδου πιεῖν μετὰ
δύο κυάθων οἴνου.

ις ἀσπίδων πόσαι διαφοραί.

τῶν μὲν ἀσπίδων ἐστὶν εἴδη κατὰ τοὺς θηριακοὺς τρία· αἱ μὲν **1**
γὰρ αὐτῶν εἰσι χερσαῖαι καλούμεναι, ⟨αἱ δὲ⟩ χελιδονίαι, αἱ δὲ ὀνομά-
ζονται πτυάδες, μεγέθει δὲ αὗται καὶ χρόᾳ καὶ ἐνεργείᾳ ἀλλήλων δια-
φέρουσιν. αἱ μὲν γὰρ χερσαῖαι εὑρίσκονται πηχῶν τριῶν, ἐνίοτε δὲ καὶ
τεσσάρων, πολλά|κις δὲ καὶ πέντε· ἀνάλογα δὲ τῷ μήκει καὶ τὰ **fol. 276v**
πάθη ἔχουσιν. αἱ δὲ πτυάδες αἱ μέγισται πηχῶν δύο, αἱ δὲ χελιδονίαι **2**
πήχεως ἑνός, κατὰ δὲ χρόαν τῶν χελιδονίων εἰσὶν ὅμοιαι, ὅθεν καὶ
προσηγορεύθησαν· αἱ δὲ πτυάδες τεφρώδεις, ἔγχλωροι, χρυσίζουσαι,
αἱ δὲ χερσαῖαι καὶ αὐταὶ ὁτὲ μὲν τεφρώδεις, ὁτὲ δὲ ἔγχλωροι
εὑρίσκονται.

κοινῶς δὲ παρέπεται τοῖς ὑπ᾽ αὐτῶν δηχθεῖσιν κεντήματα ἐπὶ **3**
τοῦ δήγματος, ὡς βελόνης, δύο ἢ τέσσαρα, εἰ δὲ θηλυκὰ εἴη, ⟨τέσσαρα⟩,
δίχα πόνου, μηδὲν ἀποκρίνοντα, εἰ μὴ βιαίως ἀποσπᾶσθαι τὸ ζῷον
τύχοι. παρέπεται δὲ νάρκα, ὠχρίασις προσώπου, κατάψυξις, χασμαὶ
συνεχεῖς, βλεφάρων ἐπιμύσεις, τραχήλου παρέγκλισις, καρηβαρία, νωθρία,

1 *SIM. Ael. Pr. (fol. 480r).*
11 *SIM. Nic. Th. 157; Gal. XIV 235; Paul. Aeg. V 19.*
11 *EXC. Aet. XIII 20; Theoph. Nonn. 274 (ex Aetio).*
22 *SIM. Nic. Th. l. s.; Ps. D. 17 (73); Paul. Aeg. V 19; Theoph. Nonn. 274.*
22 *EXC. Aet. XIII 20.*

1 τρυγόνας P: τρυγόνος *Pr.* 2 δράκοντας θαλασσίους P: δράκοντος θαλασσίου *Pr.* 3. 4 νάρδου· στάχυς ἐπυρέθρου P: *correxi* 6 *post* σπέρματος *add.* ἄγνου σπέρματος *Pr.* 8 σείσας P: *correxi* 9 καπάρεως P 10 κυάσθων P 12 τρία] γ̄ P 13 εἰσὶ] ·/. P: *correxi* αἱ δὲ *addidi ex Aet.* χελιδώνι *(in conf. vers.)* ἀιδεστὸν πιτυάδες P: *correxi coll. Aetio* πιτυάδες P *(semper): correxi coll. Pl. XXVIII 65; Hierocl. II 12; Gal. l. s.; Aet.* 14 χρόᾳ] ἄχροα P: *correxi* 18 πηχυν ᾱ P: *correxi coll. Aet.* αἱ δὲ χελιδονίαι μείζους ἑνὸς πήχεως εὑρίσκονται τῶν χελιδονίων P, *de genetivo cf. Kühner[3] II 1, 413* ὅμοια P: *correxi* 19 προσηγορεύθης P: *correxi* 20 σύγχλωροι P: ὑπόχλωροι *Aet.: corr. Oder* 23 ὡς ἐπὶ βελόνης *Aet.* β̄ ἢ δ̄ P τέσσαρα *(alt.) addidi ex Aet.* 26 παρέγκλισις *Aet.*: παρέγκλησις P

16 3 καταφορὰ ὑπνώδης, σφυγμὸς ἀμετάβλητος, πρὸς τέλει δὲ σπασμός·
4 ὁ δὲ θάνατος ἐν ὥραις δύο ἢ τρισὶν ἐπὶ τῆς χερσαίας, ἐπὶ δὲ τῆς
χελιδονίας ἔτι καὶ συντομώτερον· τοῖς δὲ ὑπὸ τῆς πτυάδος προσεπτυ-
σμένοις ἀμαύρωσις, διόγκωσις προσώπου καὶ ἀκοῆς ἀποκοπή, πόνος
ἐλαφρὸς καὶ οὐκ ἄτερ ἡδονῆς, διὸ καλῶς ὁ Νίκανδρος (Th. 188) ἔλεγεν·
5 ʽκαμάτου δʼ ἄτερ ὄλλυται ἀνήρʼ· χρόα ἀτρόπιος καὶ χλοανθής, καρ-
διωγμὸς ὀλίγος, μέτωπον δὲ συνεχῶς ἀνασπᾶται, βλέφαρα ἀκινητεῖ
μετὰ ἀναισθησίας ὁμοίως ὕπνῳ, κἂν τούτοις ὁ θάνατος συναναιρεῖ,
μηδὲ τρίτον ἡμέρας διαλιπών.
6 βοηθοῦνται δὲ οἱ ὑπʼ αὐτῶν πληγέντες συντόμως ἀκρωτηριασμῷ,
εἰ ἐνδέχεται τὸ δηχθὲν μέρος· εἰ δὲ μή, περισαρκιστέον παραχρῆμα
καὶ ἐκτμητέον διὰ βάθους μέχρις ὀστέου, ὅπως ὑπεκδράμῃ μὲν τὰ
δεδηγμένα μέρη καὶ τὰ τούτοις πλησίον, τὰ δὲ ὑπολειπόμενα τοῖς
fol. 277r 7 καυτῆρσιν ἀνικμαστέ|ον. ἁπλοῖς δὲ βοηθήμασιν παραυτίκα ⟨χρηστέον⟩
τούτοις· ὄξος δριμύτατον δίδου πιεῖν, ἕως τῆς ποιότητος τοῦ ὄξους
ἀντιλάβοιτο· τὸ γὰρ ἐν ταῖς ἀρτηρίαις αἷμα καὶ πνεῦμα τούτων
ὁ ἰὸς ὀξυτάτως πήγνυσι, ὥσπερ ⟨καὶ⟩ ὁ τοῦ βασιλίσκου. κατὰ δὲ
τῆς πληγῆς ἐπιτίθει κενταύριον σὺν σμύρνῃ καὶ ὀπίῳ συλλεάνας. ἄλλο·
8 σίναπι μετὰ λινοσπέρμου σὺν ὄξει λεάνας ἐπίθες. εἰς δὲ τὸ γνῶναι,
εἰ ζήσεται ὁ πεπληγμένος, κενταύριον λεάνας μετʼ οἴνου δίδου· ἐὰν
ἐμέσῃ τὸ φάρμακον, ἀποθανεῖται, εἰ δὲ μή, σῴζεται. εἰς δὲ τὸ ἀπερᾶσαι
τὴν ἐκ τῆς ἀντιδόσεως φαυλότητα καὶ τροπὴν τὴν ἐν τῷ στομάχῳ
σκόρδα λεάνας δίδου μετὰ ζύθου, ἕως ὑποναύσιος γένηται, ἢ ὀπο-
9 πάνακα δίδου ἐν κράματι, καὶ παραχρῆμα ἐνεργήσει. Νουμήνιος
δέ φησιν ὁ θηριακός· τὴν Ἡρακλεωτικὴν ὀρίγανον, εἴτε ξηρὰν εἴτε
χλωράν, λεάνας πρὸς δύναμιν δίδου μετʼ οἴνου. μετὰ δὲ ταῦτα ταῖς
θηριακαῖς ἀντιδότοις χρηστέον καὶ τοῖς καθολικοῖς βοηθήμασιν τοῖς ἐν
ἀρχῇ δεδηλωμένοις.

10 *SIM. Ps. D. 33 (90) cf. 34.*
10 *EXC. Aet. XIII 20; Paul. Aeg. V 19 (167, 5); Theoph. Nonn. 274.*

1 ὑπνώδεις P: *correxi* προστέλλει P: *correxi coll. Aet.* ἐπὶ τέλει δὲ καὶ σπασμός 3 προσεμπτυομένοις *Aet.* *post* προσεπτυσμένοις *add. Aet.* παρέπεται 4 *post* ἀμαύρωσις *add.* ὄψεως, καρδίας πόνος *Aet.* 5 ἄτερ D: ἄτερον P 6 δὲ ὅτερ P: *correxi e Nic.* ἀτρόπιος D: διτροπιος (ι *alt. in ras.*) P χλοανθής P *et* D: χλωρανθής *coni. Spr. collato Nic. Th. 173* καρδιωγμὸς ὀλίγος D: καρδάμωμον ὀλίγον P 8 συναίρει DA 9 ἡμ̃ P διαλιπών DA: διαλειπών P 12 ἐκτμητέον A: ἐκμητέον P ὑπεκδράμωμεν P: *correxi,* ὅπως διεκδρᾷ μὲν τὰ δεδηγμένα μέρη A 13 ὑπολιπόμενα P: λειπόμενα A: *correxi* 14 ἀνικματέον A: ἀνιγμαστέον P χρηστέον *addidi* 15 ἕως *Aet.*: ὡς P 16 *fort.* ἀντιλάβηται, *aliter Aet.* δίδου δὲ ἕως τῆς ποιότητος τοῦ ὄξους ἀντιλαμβάνονται κατὰ τὸ δεξιὸν ὑποχόνδριον· τοῦτο γάρ φασιν ἀναισθητεῖν πρῶτον ἐπὶ τῶν ἀσπιδοδήκτων 17 καὶ *addidi ex* A 18 ἐπιτέθη P: *correxi* ὀπίῳ *Th.*: ὅπως P 19 λαχανοσπέρμου P: *correxi* εἰς *Aet.*: εἰ P προγνῶναι *Aet.* δίδου πίνειν καὶ *Aet.* 21 εἰς *Aet.*: εἰ P 23 σκόρδα P: *fort.* σκόροδα ὑπόναυσος P: *correxi* 25 φασιν P: *correxi*

ιζ ἔχις καὶ ἔχιδνα.

τοῖς δὲ ὑπὸ ἔχεως ἢ ἐχίδνης δηχθεῖσιν εὑρίσκομεν κεντήματα **17** 1
⟨ὑπάρχοντα⟩ δύο ἢ τέσσαρα, εὐρύτερα δὲ ἢ ἐπὶ ἀσπίδος, δι᾽ ὧν αἷμα
ἐκκρίνεται πρῶτον, εἶτα αἱματώδης ἰχὼρ καὶ ἐλαιώδης καὶ χολώδης,
ὄγκος διάπυρος, φλυκταινώδης, ὑπέρυθρος, εἶτα πελιὸς καὶ νεμό-
μενος, στόμα κατάξηρον, ἔγκαυσις, ἔκλυσις, φρικώδης διαδρομή, ποτὲ
δὲ καὶ χολῆς ἔμετος, στρόφος, βάρος κεφαλῆς καὶ ὀσφύος, σκοτοδινία, 2
ὠχρίασις, λυγμός, πυρετός, ταχύπνοια, χρῶμα μολιβδῶδες, ἱδρὼς ψυχρός.
ὁ δὲ θάνατος ἐν ἡμέραις ἑπτά, καὶ ὡς ἐπὶ τὸ πλεῖστον τῇ τρίτῃ, καὶ
μάλι|στα τοῖς ὑπὸ ἐχίδνης ἀδικηθεῖσιν. fol. 277ʳ

βοηθοῦσι δὲ καὶ τούτοις σπύραθοι αἰγῶν μετ᾽ οἴνου λεανθεῖσαι 3
καὶ καταπλασσόμεναι, καὶ δάφνη ὡσαύτως, καὶ ἀβρότονον καὶ χαλ-
βάνη ἀντὶ σπληνίου ἐπιρριπτομένη, καὶ ὀρίγανος χλωρὰ λεανθεῖσα, καὶ
τῶν ὀρνίθων οἱ νεοσσοὶ ἀναπτυσσόμενοι παραχρῆμα καὶ ἐπιτιθέμενοι,
ἢ ὀρόβινον ἄλευρον σὺν οἴνῳ πεφυραμένον, καὶ ῥεφάνου φλοιὸς
ἰσχυρῶς λεανθείς, καὶ σκίλλα ὀπτὴ καὶ χαμαίμηλον λελειωμένον, καὶ
ὠμήλυσις δι᾽ ὀξυμέλιτος ἐσκευασμένη προκαταντλουμένοις θερμῷ ὕδατι.
καὶ δάφνης φύλλοις μετ᾽ ἐλαίου ἐπάλειφε καὶ τῇ ἀγρίᾳ μαλάχῃ μετ᾽ 4
ἀλφίτου, ⟨καὶ⟩ κατάπλασσε σεύτλου ῥίζῃ μετὰ ἀλφίτων ⟨καὶ⟩ ὄξους, ἢ
ἴριδι σὺν ἀλφίτῳ, ἢ τιτάνῳ μετ᾽ ἐλαίου, ἢ πεφωσμένοις ἅλσὶν μετὰ
ὑσσώπου, ἢ ὀριγάνῳ σὺν μέλιτι. ὅταν δὲ ἐπεγερθῶσιν φλύκταιναι, τῶν 5
καταπλασμάτων ἀφίστασθαι χρή, μὴ ἀποδαρῇ τὸ δέρμα· ὅταν δὲ οἱ
ἰχῶρες ἐκρέωσιν, κατάντλει ὕδατι θερμῷ ἐπὶ πολὺν χρόνον, ἐπεὶ χεῖρον
διατίθενται καταντληθέντες ἐπ᾽ ὀλίγον. μετὰ δὲ ταῦτα κατάπλασσε
τὸ οἴδημα καὶ τὰς φλυκταίνας ἑφθῷ φακῷ λείῳ μετὰ μέλιτος, καὶ

1 *SIM. Nic. Th. 209sq. (ex Apollod.); Ael. n. a. X 9 (e Sostr.-Apollod.); Ps. D. 9 (69); Gal. XIV 265; Paul. Aeg. V 13 (unde Theoph. Nonn. 273).*
1 *EXC. Aet. XIII 21.*
11 *SIM. Paul Aeg. V 13 (165, 31); Theoph. Nonn. 273.*
11 *EXC. Ps. D. 27 (85).*

1 κέχιδνα P: *correxi* 2 *descriptionem viperae, quam habet Aetius, om.* P 3 ὑπάρχοντα *addidi* β̄ ἢ δ̄ P 4 ἰχὼρ *Aet.*: ἰχωρας P ἰλυώδης P: ἐλαιοειδής *Aet.* A: *correxi coll. Nic. Th. 235* 5 νεμόμενος P: μελαινόμενος καὶ νεμόμενος *(var. lect.) Aet.*: *fort.* μελαινόμενος 8 ὠχρίασις *Aet.*: ὠχρόασις P ταχύπνοια *Aet.*: ταχυπνια P 9 ἡμέραις] ὥραις *Aet.* 10 ἀδικηθείσην P: *correxi* 11 βοηθοῦνται δὲ καὶ οὗτοι P: *correxi coll.* D 12 δάφνη D: δάφνης P: δάφνης ἑφθὰ φύλλα A χαλβάνη D: χαλκάνθη P, *cf. 33, 6* 13 ἐπιρριπτούμενα D 14 καὶ παραχρῆμα D 16 λελειωμένα D 17 προκαταντλουμένους P: *correxi*: προκατηντλημένου θερμοῦ D 18 ἀπάλιφε P: *correxi* 19 καὶ *(pr.) addidi* καταπα*(corr. in* λ *pr. m.)*άσσει P: *correxi* ῥίζαν P: *correxi* καὶ *(alt.) addidi* 21 τῶν] αὐτῶν P: *correxi* 23 χρόνω P: *correxi* 24 καταπλάσσεται P: *correxi ex* A 25 ἑφοῖς φαρμάκω P: *correxi coll.* A κατάπλαττε φακῷ ἑφθῷ μετὰ μέλιτος, ἕως ἀφυγιασθῶσιν

17 6 ταῦτα ποίει, ἕως ἀφυγιασθῶσιν. πρὸ δὲ τοῦ γενέσθαι τὸ οἴδημα,
πινέτωσαν πηγάνου ἀγρίου σπέρμα μετὰ γλυκέος κεκραμένου, καὶ
ταρίχων χρηστῶν πλεῖον ἐσθίοντες μετὰ ἄρτου καὶ οἶνον πλείονα
προσεπιρροφοῦντες ἄκρατον ἀπεράτωσαν, καὶ μετὰ τὴν ἀπέρασιν ἀρι-
στολοχίαν πινέτωσαν ἐν γλυκεῖ κεκραμένῳ· καὶ ἄγχουσαν δὲ τὴν
7 λεπτόφυλλον ἔνιοι περιάπτουσιν καὶ βοηθεῖν ὑπισχνοῦνται. πινέτωσαν
fol. 278r δὲ καὶ λαγωοῦ τῆς πιτύας ὅσον τριώβολον ἐν οἴνῳ, καὶ πρά|σου
χυλίσματος ὅσον ἡμικοτύλιον ἐν ἀκράτῳ, καὶ μελισσοφύλλου τῶν φύλ-
λων τὸν χυλὸν σὺν οἴνῳ, σκόροδά τε ἐσθιόμενα καὶ κρόμμυα καὶ πράσα
καὶ τάριχος δριμύτατος ὠφελεῖ· πότιζε δὲ αὐτοὺς ⟨καὶ⟩ καρκίνον
8 ποτάμιον μετ᾽ ἀκράτου. καλῶς δὲ ποιεῖ ἐπ᾽ αὐτῶν τοῦτο· ⟨κ̄⟩ καρ-
κίνους μετὰ ἱκανοῦ αἰρίνου ἀλεύρου κόψας ἐν ὅλμῳ ἐπιμελῶς καὶ
προσμίξας καλαμίνθης καὶ ἁλὸς ὀλίγον τροχίσκους πλάσον καὶ ξήρανον·
χρῶ δὲ καταπλάσματι μετὰ γάλακτος, καὶ ἕνα τροχίσκον σὺν μελικράτῳ
πότιζε· ἢ φλοιὸν ῥεφάνου μετὰ μέλιτος ἐσθίειν δίδου, ἢ κόστου < β̄
9 λεάνας δίδου μετ᾽ οἴνου πιεῖν.

Πολυείδης δὲ ⟨ὁ⟩ θηριακός φησιν· ἀλκιβιάδιον βοτάνην δια-
μασάσθω ὁ δηχθεὶς καὶ τὸν χυλὸν καταπινέτω, τὸ δὲ μασηθὲν ἐπιτιθέτω
10 τῇ πληγῇ· κἂν ἐκπνέῃ τις καὶ χρῆται οὕτως, διασωθήσεται. ἐκ δὲ τῶν
Ἀπολλωνίου Εὐπορίστων· ἄσβεστον πρόσφατον τρίψας καὶ οἴνῳ δεύ-
σας καὶ ποιήσας μαλακὴν κατάπλασσε, καὶ τοῦτο καὶ ἐπὶ παντὸς οἰδήματος
χρησιμώτατον. ἢ αἰγὸς σπυράθους χλωροὺς προηψημένους μετ᾽ οἴνου
ἱκανῶς τρίψας κατάπλασσε. τοῦτο πάντων τῶν καταπλασμάτων ἐστὶν
11 ἰσχυρότατον· ποιεῖ δὲ καὶ πρὸς ἐρυσίπελας. ἐὰν δέ τις μελανθίου < ᾱ
φάγῃ, οὐκ ἀποθνῄσκει. φάρμακον εὐδοκιμοῦν πρὸς ἐχεοδήκτους· ἔστιν
δὲ σμύρνης, καστορίου, πεπέρεως, ἀνδράχνης καὶ ἄνθους καὶ σπέρματος
ὀξυβάφου τὸ ἥμισυ. ταῦτα πάντα λέαινε ⟨ἐν⟩ γλυκεῖ Κρητικῷ ⟨ἢ⟩
12 ἑτέρῳ τινὶ τῶν σπουδαίων. Ἐρασίστρατος δὲ ἔγραψεν μὲν πολλὰ
πρὸς ἐχεοδήκτους, τὰ δὲ δοκιμώτατά φησι τάδε· τοὺς τῶν ὀρνίθων

5 *EXC. Ps. D. 27 (86).*
11 *SIM. Paul. Aeg. V 13.*
25 *SIM. Paul. Aeg. V 13.*
25 *EXC. Ps. D. 27 (86).*

4 ἀπειρατωσαν P: *correxi* 6 λεπτόφυλ*(in ras.)*λον P βοηθεῖν ἀφηγοῦνται D πινέτως P: *correxi* 8 χυλίσμα *(τ superscr.)* P: χύλισμα D 9 τε D: δὲ P 10 καὶ *addidi* 11 *quae sequuntur ex Archigene sumpta esse docet* A κ̄ *addidi ex* A 12 αἰρίμου P: πυρίνου A: *correxi* 13 ὀλίγον A: ὀλίγου P ἀρτίσκους A 17 ὁ *addidi* διαμασσάσθω P *(ut semper)* 18 *fort.* τὸν μὲν 22 προσεψημένους P: *correxi* 25 φάρμακον] ἐκ τῶν Λύκου φάρμακον A 26 σανδαράχης ἀνὰ < ᾱ, ἀνήθου σπέρματος ὀξύβαφον A, *at cf.* D ἀνδράχνης ἄνθους καὶ σπέρματος *(σπέρμα F)* ὀξυβάφου τὸ ἥμισυ *(sic libri)* 27 ἐν *addidi e* D ἢ *addidi e* D 28 *tit. libri Erasistratei add.* D 29 δοκιμώτατα D: δόκιμα P

ἐγκεφάλους | ἐν οἴνῳ πινομένους ἀρήγειν, καὶ τοῦ πάνακος **17 12** fol. 278ᵛ
τὴν ῥίζαν συγκαθεψομένην ἀκράτῳ, καὶ κράμβης ἡμέρου ⟨τοῦ⟩ σπέρματος ὀξύβαφον λεῖον πινόμενον μετ᾽ οἴνου· ἀγαθὸν δὲ καὶ τὸν δάκτυλον καταβάπτοντα εἰς πίσσαν ὑγράν, εἶτα ἀποκλύζοντα εἰς οἶνον πίνειν.

ιη̅ κεράστης. **1**

ὁ δὲ κεράστης, καθὼς οἱ θηριακοὶ ἱστοροῦσιν, μέγεθος ἔχει πήχεος ἑνός, ὁ δὲ μείζων πηχῶν δύο, τῷ δὲ χρώματί ἐστι ψαμμώδης, λελεπτισμένος κατὰ τὴν οὐράν. ἀποφύσεις δὲ ἔχει ἐπὶ τῆς κεφαλῆς δύο, ὡς ὁμοιοῦσθαι κέρασιν, ἀφ᾽ ὧν δὴ καὶ κεράστης ἐκλήθη. τὰ δὲ κατὰ τὴν κοιλίαν μέρη πεφολίδωται στοιχηδόν, ὅθεν ἐν τῷ ἕρπειν ⟨ἦχον⟩ ἀποτελεῖ συριγμῷ ὅμοιον ἐκ τῆς ἀντερείσεως τῆς πρὸς τὴν ἄμμον· πλαγίως δὲ καὶ οὐκ ⟨ἐπ᾽⟩ εὐθείας ἕρπει.

συμβαίνει δὲ τοῖς ὑπὸ τούτου δηχθεῖσιν ἐπανάστασις τοῦ δήγματος **2**
σκληρά, ὡς ἥλου κεφαλή· ἰχὼρ δὲ ἐκρεῖ οἰνωπὸς ἢ μελαινόμενος, κιρσοειδὴς δὲ γίνεται περὶ τὸ σύγκριμα ὅλον· καὶ τὸ μὲν αἰδοῖον τείνεται, ἡ δὲ διάνοια ἐξίσταται, ὀφθαλμῶν τε ἀμαύρωσις ἐπιγίγνεται· ὡς ἐπὶ πλεῖστον δὲ ἕως ἐννέα ἡμερῶν παρατείνουσιν οἱ πληγέντες.

ἁρμόζει δὲ καὶ τούτοις ἀκρωτηριασμός, εἰ ἐνδέχεται· εἰ δὲ μή, **3**
περισαρκισμὸς ἕως ὀστέου καὶ καῦσις. βοηθοῦνται δὲ καταπλάσμασι τοῖς ἐπὶ τῶν ἐχεοδήκτων ⟨εἰρημένοις⟩ καὶ ποτοῖς, ἰδίως δὲ ἐπὶ τούτων καστόριον μετὰ μελικράτου δίδου πιεῖν, ἢ ῥεφάνου σπέρμα μετ᾽ οἴνου, ἢ ὀπὸν Κυρηναικὸν σὺν μελικράτῳ. συνενώσας δὲ καστόριον ἐλαίῳ συνάλειφε· ἅλας δὲ λεῖον κεδρίᾳ ἀναλαβὼν κατάπλασσε ἢ κρομμύοις λείοις μετ᾽ ὄξους. καταντλητέον δὲ αὐτοὺς | ὄξει θερμῷ **4** fol. 279ʳ
κατὰ τῆς πληγῆς, καὶ δοτέον ῥεφανίδας ὠμὰς καὶ ὕδωρ πολὺ πιόντας ἀναγκάζειν ἐμεῖν, εἶτα μετὰ τὸν ἔμετον προποτιστέον Αἰθιοπικοῦ κυμίνου καὶ σμύρνης ὀλίγον καὶ διαλείπειν, εἶτα πάλιν δοτέον ῥεφανίδας καὶ πράσα καὶ ἐπιπιεῖν οἶνον κεκραμένον πολὺν ἀθρόως καὶ ἀναγκάζειν ἐμεῖν· μετὰ δὲ τὸν ἔμετον ὀριγάνου τῆς κόμης κεκομμένης σὺν οἴνῳ **5**

5 *SIM.* *Nic. Th.* *258 sq.* *(ex Apollod.)*; *Pl. n. h. VIII 85 (ex Apollod.)*; *Isid. XII 4, 18.*
5 *EXC.* *Aet. XIII 28.*
13 *SIM.* *Ps. D. 16 (72)*; *Paul. Aeg. V 19.*
18 *SIM.* *Ps. D. 33 (90)*; *Ael. Pr. (fol. 480ᵛ).*

2 ἡμεροσπέρματος P: *correxi coll.* D   3 ὀξίβαφον P   4 πίσσαν D: πίοσεν P   ἀποκλύζοντα D: ἀποκλύζοντας P   6 πήχυος α̅ P: *correxi*   11 ἦχον *addidi ex Aet.*   συριγμῷ *Aet.*: συριγμὸν P   ἀντερήσεως P: *correxi*   12 πλαγίως *scripsi Aetio duce*: μαγεῖα P   ἐπ᾽ *addidi*, κατ᾽ εὐθὺ *Aet.*   15 τείνεται D: γίνεται P   17 θ̅ P   παρεκτείνουσιν *Aet.*: *fort. recte*   19 *fort.* δὲ καὶ   20 εἰρημένους *addidi ex Aet.*   22 συνετώσας P: *correxi*, ἄλειφε δὲ συλλειώσας ἔλαιον καὶ καστόριον *Pr.*   25 ῥεφνίδας P: *correxi*   *post* ὠμὰς *fort. addendum* πλείστας *coll. Pr.* ἐσθιέτω δὲ ῥαφανίδας πλείστας   27 διαλειπεῖν P

18 5 δίδου. ἐcθιέτω δὲ καὶ ταριχηρὰ κρέα μετὰ ἄρτου ξηροῦ καὶ οἶνον πινέτω, ἄχρι ἂν ἐπὶ τὴν οὔρηcιν ἀχθῇ τὸ αἴτιον. τοῖc δὲ καταπλάcμαcιν cυνεχέcτερον χρηcτέον.

⟨ιθ̄⟩ πρηcτῆρεc καὶ ἕρπητεc.

1 παραδίδωcιν δὲ ἡμῖν ὁ αὐτὸc Ἀπολλώνιοc ἐν τοῖc Εὐποριcτοῖc βοηθήματα πρὸc πρηcτῆραc καὶ ἕρπηταc· οὐχ ηὗρον δὲ παρὰ τοῖc θηριακοῖc τὰ γένη ταῦτα τῶν ζῴων, μόνα δὲ τὰ βοηθήματα ὑπο-
2 γράψω, ὡc ηὗρον παρὰ τῷ Ἀπολλωνίῳ. ἔcτι δὲ ⟨τάδε⟩· πρὸc μὲν πρηcτῆραc ἀδράχνη καὶ ἀλφίτοιc καταπλάccειν, ἢ ἀμπέλου φύλλα ἑφθὰ μετὰ μέλιτοc, ἐcθίειν δὲ τάριχον ὠμὸν καὶ πίνειν ἀκρατέcτερον οἶνον καὶ κελεύειν ἐμεῖν. πρὸc δὲ ἕρπηταc τὸ μὲν δῆγμα καταντλητέον ὕδατι πολλῷ θερμῷ, καταπλαcτέον δὲ ἀλεύρῳ κριθίνῳ μετ᾽ ὄξουc ἡψημένου, ποτιcτέον δὲ οἴνῳ κεκραμένῳ ἢ ὄξει.

κ̄ διψὰc τὸ θηρίον.

1 ἡ δὲ διψὰc καλεῖται ὑπ᾽ ἐνίων θηριακῶν καύcων ὄφιc. ἔcτι δὲ κατὰ τὸ μέγεθοc πήχεοc ἑνόc, ἐκ παχέοc ἐπὶ λεπτὸν ἠγμένη· περιέρρανται δὲ καθ᾽ ὅλον τὸ cῶμα μελαίναιc cτιγμαῖc καὶ κιρραῖc, ἔχει δὲ τὴν κεφαλὴν cτενοτάτην.

fol. 279v 2 τοῖc δὲ δηχθεῖcιν ὑπ᾽ αὐτῆc παρέπεται ἅμα τῇ δήξει οἴδημα, φλεγμονὴ ἀντίτυποc. κοινὰ μὲν οὖν ταῦτα καὶ ἄλλοιc . . . . . . διὰ δὲ ταῦτα ὀρεκτικώτεροc ὁ πάcχων γίνεται πολὺ καυcούμενοc, πλείονοc δὲ μεταλαμβάνων ποτοῦ, οὐδὲν ἐκκρίνει οὔτε δι᾽ οὔρων οὔτε δι᾽ ἱδρώτων οὔτε δι᾽ ἐμέτων. ἀπόλλυνται οὖν κατὰ δύο αἰτίαc, ἢ δίψῃ πολλῇ πιεζόμενοι, εἰ μὴ λαμβάνοιεν ποτόν, ⟨ἢ λαμβάνοντεc ποτὸν⟩ ἀπὸ πολλῆc πληρώcεωc ἢ κατὰ τοὺc βουβῶναc κάτω ἢ πρὸc τῷ ἐπιγαcτρίῳ ὡc ἐπὶ ὑδρωπικῶν τῶν καθ᾽ ὑπέρχυcιν ῥηγνυμένων.

3 βοηθοῦνται δὲ καὶ οὗτοι ⟨τοῖc⟩ ἐπ᾽ ἐχεοδήκτων εἰρημένοιc, ὡc

4 *SIM. Ael. Pr. (fol. 480r); Isid. XII 4, 16.*
14 *SIM. Nic. Th. 334 (ex Apollod.); Sostr. (Ael. n. a. VI 51); Gal. XIV 234.*
14 *EXC. Aet. XIII 22.*
19 *SIM. Ps. D. 13 (71); Paul. Aeg. V 16.*
27 *SIM. Ps. D. 30 (88): Paul. Aeg. V 16.*

4 ιθ̄ *addidi* ἕρπητεc] ὅπητεc *(ut semper)* P: *correxi coll. Pl. XXX 116* 6 οὐκ P: *correxi* *descriptionem presteris habet Pr.* 8 τάδε *addidi* 9 καταπλάcαι P: *correxi* 15 καύcων] καῦcιc P: καῦcoc *Aet. et* D: καύcων A *et Sostr. (Ael. l. s.)*: *correxi* 16 ᾱ P 20 *lacunam signavi; versus unus intercidisse videtur, quem e* D *Aet.* A *sic expleas* ἰδίωc δὲ παρακολουθεῖ δίψοc ἐπιτεταμένον ἰcχυρῶc 21 *post* ὀρεκτικώτεροc *suppleas* ποτοῦ 24 πιεζόμενοc P: *correxi,* φλεγόμενοι *Aet.* ἢ λαμβάνοντεc ποτὸν *addidi ex Aet.* 25 βῶναc (βου *superscr. pr. m.)* P 25—26 γαcτρίω (ἐπὶ *superscr. pr. m.)* P 26 κατυπερψευcιν P: *correxi* 27 τοῖc *addidi*

ἱστορεῖ Ἀπολλώνιος ἐν τοῖς Εὐποριστοῖς, ἐν δὲ τοῖς Στράτωνος **20** 3
οὐ κεῖται περὶ διψάδος. ὡς δὲ παρὰ τοῖς θηριακοῖς ηὕρομεν, ἰδίως
ἐπὶ τούτων φασὶν τοῖς διουρητικοῖς βοηθήμασι χρῆσθαι, ὡς τῷ ἀφεψή-
ματι τοῦ σελίνου, νάρδου καὶ κιναμώμου καὶ τῶν ὁμοίων, καὶ προσ-
διδόντας ἔλαιον ἐμεῖν ἀναγκάζειν· χρῆσθαι δὲ καὶ κλυσμοῖς. ἐπὶ δὲ 4
τῶν εὐτόνων καὶ φλεβοτομίαν παραληπτέον, κατὰ δὲ τῶν πεπληγ-
μένων μερῶν ἄσβεστος μετ᾽ ἐλαίου ὠφελεῖ καταπλασσομένη, καὶ ἄλλαις
δὲ ἐπισπαστικαῖς δυνάμεσιν οἰκείως ἔστι χρῆσθαι, ὡς τῇ δι᾽ ἁλῶν καὶ
τῇ διὰ δαφνίδων καὶ τῇ λευκῇ καὶ ταῖς ἐπὶ κυνοδήκτων γεγραμμέναις.

κα αἱμόρρους καὶ αἱμορροΐς.

τὰ ζῷα ταῦτά ἐστι μὲν κατὰ χρόαν ψαμμώδη, κατὰ δὲ μέγεθος 1
παλαιστῶν τριῶν, ἀγόμενα [μὲν] εἰς μικρὸν καὶ μείουρον. ἕρπει δὲ ἐπ᾽
εὐθεῖαν καὶ βραδέως, καθ᾽ ὅλον δὲ τὸ σῶμα διακεκόσμηται στιγμαῖς πολ-
λαῖς λευκαῖς καὶ μελαίναις. λέγεται δὲ καὶ πεφολιδῶσθαι τραχυ|τάταις fol. 280r
φολίσιν, ἐν δὲ τῇ πορείᾳ ἦχον ἐξακούεσθαι συριγμοῦ παραπλήσιον. ἡ μὲν 2
οὖν θήλεια ἐγκειμένη τῇ γαστρὶ ἐπὶ γῆς ἕρπει, καὶ ἡ ἕδρα αὐτῆς ⟨περὶ
τὴν οὐρὰν⟩ κάτω τέτακται, ἐπὶ δὲ τοῦ ἄρρενος πρὸς τῇ γαστρί.

παρέπεται δὲ τούτων τοῖς δήγμασιν τόπος ἔναιμος καὶ κακό-
χρους, μελανίζων, μηδὲν ἀποκρίνων εἰ μὴ ὀλίγον ὑδατῶδες, στομά-
χου πόνος, δύσπνοια, ⟨αἱμορραγία⟩ διὰ ⟨τῶν⟩ μυκτήρων καὶ ἀπὸ
τῶν τρήσεων τοῦ δήγματος, καὶ οὐλαί, ὅσαι εἰσὶ κατὰ τὸ σῶμα,
ἀπορρήγνυνται καὶ αἱμορροοῦσιν. καὶ ταῦτα μὲν ἐπὶ τοῦ ἄρρενος,
ἐπὶ δὲ τῆς αἱμορροΐδος πρὸς τούτοις καὶ κανθοὶ αἱμορροοῦσιν καὶ 3
οὖλα τῶν ὀδόντων, καὶ ἐκ τῶν ῥιζῶν ⟨τῶν ὀν⟩υχίων καὶ ἁπλῶς διὰ
παντὸς τοῦ σώματος φέρεται τὸ αἷμα· συμβαίνει δὲ πρὸς τούτοις καὶ
σῆψις οὔλων καὶ ἔκπτωσις ὀδόντων.

ἐπιμελεῖσθαι δὲ τούτων χρὴ πρῶτον μὲν πρὸς τὴν αἱμορραγίαν
ἐνιστάμενον, εἶτα καταπλάσσειν τὸ δῆγμα ἀμπέλου φύλλοις ἑφθοῖς μετὰ 4

10 *SIM. Nic. Th. 282 sq. (ex Apollod.); Sostr. (Ael. n. a. XV 13); Gal. XIV 234; schol. Nic. Th. 303 (ex Apollod. cf. O. Schneider Nic. 197); Isid. XII 4, 15.*
10 *EXC. Aet. XIII 23.*
18 *SIM. Ps. D. 12 (70); Paul. Aeg. V 16.*
27 *SIM. Ps. D. 30 (88); Paul. Aeg. l. s.*

9 δναφίδων P: *correxi* 11 τὸ μέγεθος *Aet.* 12 μὲν *delevi* μύουρον P: *correxi coll. c. 27, 1* 14 τραχυτέραις *Aet.*: παχύτητα ταῖς P: *correxi* 16 θήλεια *Aet.*: θηλείας P 16—17 περὶ τὴν οὐρὰν *addidi ex Aet.* 18 τὸ χρῶμα τοῦ δηχθέντος τόπου ἔναιμον *Aet.* 20 αἱμορραγία *addidi e Gal. XIV 234 cf. Aet.* εἶτα αἷμα ἀναφέρεται ἀπὸ τῶν μυκτήρων καὶ ἀπὸ τῶν τρήσεων τοῦ δήγματος τῶν *addidi ex Aet.* 21 ὅσαι *Aet.*: ὅσου P 24 ριζονυχίων P: *correxi coll. Aet.* κανθοὶ αἱμορραγοῦσι καὶ τὰ τῶν ὀδόντων οὖλα καὶ αἱ ῥίζαι τῶν ὀνύχων 28 ἐνιστάμενον *Aet.*: συνιστάμενον P *post* ἐνιστάμενον *add.* διὰ τῶν ἐπιτηδείων ἰσχαίμων *Aet.* ἑφθοῖς λείοις *Aet.*

21 4 μέλιτοϲ ἢ ἀνδράχνηϲ φύλλοιϲ ϲὺν ἀλφίτῳ. τοῖϲ μὲν οὖν ὑπογύωϲ
δεδηγμένοιϲ πρὸ τοῦ δίαιμον οὐρῆϲαι, δοτέον ϲκόροδα πολλὰ καὶ οἶνον
κεκραμένον πολὺν καὶ ἐμεῖν ἀναγκαϲτέον, ἔπειτα ἰχθύαϲ πολλοὺϲ μετὰ
ϲκορόδων ϲὺν ἐλαίῳ τετριμμένων προϲενεκτέον καὶ ἄρτον καὶ οἶνον ὑδαρῆ
πολύν, καὶ ἐπιβρωτέον ϲταφίδα γλυκεῖαν πολλήν, καὶ πάλιν οἶνον ποτί-
5 ϲαντα κελεύειν ἐμεῖν. μετὰ δὲ ταῦτα ποτιϲτέον λεκίθου ᾠοῦ τὸ τρίτον
μέροϲ καὶ μήκωνοϲ ὀποῦ ὅϲον ἔϲτι καὶ ἴρεωϲ < ᾱ μετὰ γλυκέοϲ· εἶτα
τούτοιϲ δοτέον καὶ γλυκὺν κεκραμένον πιεῖν, καὶ τὸ δῆγμα ὕδατι
fol. 280v ψυχρῷ καταντλητέον, τοῖϲ δὲ παλαιο|τέροιϲ γλυκὺν δοτέον μετὰ θερ-
6 μοῦ πολλοῦ. μετὰ δὲ τὸν ἔμετον ἰχθύαϲ ἀπ᾽ ἀνθράκων προϲενεκτέον,
καὶ τῷ πόματι παραπληϲίωϲ χρηϲτέον, καὶ τὴν κύϲτιν ϲπόγγοιϲ πολ-
λοῖϲ πυριατέον. ἐκ δὲ τῶν Στράτωνοϲ· ᾠοῦ τὸ λευκὸν μετ᾽ οἰνο-
μέλιτοϲ δίδου πιεῖν, ἢ ῥεφάνου ϲπέρμα μετ᾽ οἴνου. κατάπλαϲϲε δὲ
ἁλὶ λείῳ ἀναληφθέντι πίϲϲῃ ὑγρᾷ.

κβ ἀμμοδύτηϲ καὶ μύαγροϲ.

1 ⟨ὁ⟩ ἀμμοδύτηϲ κατὰ μὲν μέγεθοϲ εὑρίϲκεται πήχεοϲ — μείζων γὰρ
οὐ γίνεται —, ψαμμώδηϲ δὲ κατὰ χρόαν· κατὰ δὲ τοῦ ϲώματοϲ ϲτιγμαῖϲ
μελαίναιϲ ϲυγκεχάρακται, ἔχει δὲ οὐρὰν ἀπόϲκληρον καὶ ἄνωθεν διε-
ϲχιϲμένην. ὠνόμαϲται δὲ ὑπό τινων ⟨καὶ⟩ κεχρίαϲ. ἔχει δὲ καὶ τὰϲ
2 ϲιαγόναϲ πλατυτέραϲ. τοῖϲ δὲ ὑπ᾽ αὐτοῦ πεπληγόϲιν παρέπεται τὸ ϲυν-
τόμωϲ μὲν ὡϲ ἐπὶ πλεῖϲτον ἀπόλλυϲθαι. τὸ δὲ ζῷον αὐτὸ ϲπειρηδὸν
προϲβάλλει δεινόν, ὅθεν καὶ οὕτωϲ προϲηγορεύθη.

ϲυμβαίνει δὲ τοῖϲ πεπληγμένοιϲ ἔμετοϲ καὶ ⟨ἰχῶροϲ⟩ ἔκκριϲιϲ
ἀπὸ τῆϲ τρώϲεωϲ, καὶ οἴδημα γίγνεται, μετ᾽ ὀλίγον δὲ καὶ πάλιν ἰχωρ-
3 ροεῖ· παρακολουθεῖ δὲ καρηβαρία καὶ λειποθυμία. Ἐραϲίϲτρατοϲ δέ
φηϲι πεπονθέναι αὐτοῖϲ τὸ ἧπαρ καὶ τὴν κύϲτιν καὶ τὸ κόλον· ἀνατμη-
θέντων γὰρ αὐτῶν διεφθαρμένα πωϲ εὑρίϲκεται ταῦτα τὰ μέρη. θνῄ-
ϲκουϲιν δὲ ⟨ἐν⟩ ἡμέραιϲ τριϲίν, τινὲϲ δὲ παραμένουϲιν μέχρι τῆϲ ἑβδόμηϲ·
ὀξύτεροϲ δὲ γίνεται ὁ θάνατοϲ, ὅταν τιϲ ὑπὸ θηλυκοῦ ζῴου πληγῇ.

15 *EXC. Aet. XIII 25.*
25 *SIM. Ps. D. 15 (72).*

4 τετριμμένον P: *correxi* 5 ἐπιβρωτὸν P: *correxi* 6 τὸ] τοϲοῦ-τον P: *correxi* 7 *fort.* τοϲοῦτον ὅϲον 8 τούτοιϲ *scripsi:* οὕτω P γλυκὺ P: *correxi* 9 γλυκὺϲ P: *correxi* 12 μετ᾽ οἴνου μέλιτοϲ P 16 ὁ *addidi ex Aet.* 18 κεχάρακται *Aet.* διεϲχιεμένην P 19 καὶ *addidi ex Aet.* *post* κεγχρίαϲ *add. Aet.* διὰ τὴν τῆϲ οὐρᾶϲ ϲκληρίαν *ad* κεγχρίαϲ *cf. c. 26, 1* 20 *post* πλατυτέραϲ *add. Aet.* τῆϲ ἐχίδνηϲ, καὶ κατὰ πολλὰ ἔοικε ταύτῃ, τῇ δὲ χρόᾳ μᾶλλον διορίζεται· ὑπόξανθοϲ γὰρ ἡ ἔχιδνα 21 ϲπειριδον P 22 ὅθεν — προϲηγορεύθη] *non intellego, fort. intercidit aliud nomen, cf. Nic. Th. 463. 399* 23 ἰχῶροϲ *addidi:* αἵματοϲ *Aet.* 28 ἐν *addidi ex Aet.* παρεκτείνουϲι *Aet.* ζ̄ P

βοηθοῦνται δὲ οὗτοι πρῶτον μὲν τοῖc βοηθήμαcιν τοῖc **22** 4 κοινοῖc, ὁμοίωc ἀποcφίγξει, καταcχαcμῷ, cικυῶν προcβολῇ, περιγλύψει τοῦ πεπονθότοc τόπου. ἰδίωc δὲ ἐπὶ τούτων βοηθεῖ πινόμενον ἡδύ|οcμον cὺν ὀξυμέλιτι καὶ καcτόριον καὶ κινάμωμον ὁμοίωc, fol. 281ʳ κενταυρίου ῥίζηc < β̄ cὺν οἴνῳ ϗ γ̄, ἢ ἀριcτολοχίαc ῥίζα ὡcαύτωc, κάρδαμον καὶ γεντιανὴ παραπληcίωc. ὁ μέντοι πεπονθὼc τόποc 5 καταπλαccέcθω θριδακίνηc καρπῷ μετὰ λινοcπέρμου καὶ θύμβρᾳ καὶ ἀγρίῳ πηγάνῳ ἢ ἡμέρῳ ⟨καὶ⟩ ἑρπύλλῳ cὺν ἀcφοδέλῳ λελειωμένοιc· τροφαῖc δὲ εὐχύλοιc χρῆcθαι. ὡc δὲ ἐν ἄλλῳ ηὗρον, ἐπικοινωνεῖ πωc ἡ θεραπεία καὶ τὰ βοηθήματα ἐπὶ κεράcτου καὶ ἀμμοδύτου καὶ cηπόc· ὅμοια γὰρ καὶ τὰ cυμπτώματα τῶν τριῶν εἰδῶν. πρὸc δὲ 6 τοῖc προειρημένοιc ποιεῖ καὶ ἡ ἀρτεμιcία βοτάνη ὅcον < ᾱ τοῦ χυλοῦ μεθ᾽ ὕδατοc ϗ γ̄ ἢ δ̄ πινομένη· καὶ ἡ Μιθριδάτειοc δέ, εἰ παρείη, ἀντίδοτοc προcενεκτέα. χρῆcθαι δὲ καὶ ταῖc προγεγραμ- 7 μέναιc, μάλιcτα τῇ διὰ κενταυρίου χυλοῦ καὶ ὀποῦ Κυρηναικοῦ. ποιεῖ δὲ καὶ τὸ μέλαν ξηρὸν τοῖc ἕλκεcιν ἐπιτιθέμενον, καὶ φακὸc ἑφθὸc λεῖοc μετὰ μέλιτοc καὶ cιδίων καταπλαττόμενοc, καὶ ὅcα πρὸc νομὰc ἁρμόζουcιν. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ μυάγρου παρακολουθεῖ, καὶ τοῖc αὐτοῖc θεραπεύεται.

κγ̄ cὴψ τὸ ζῷον.

ὁ δὲ λεγόμενοc cὴψ κατὰ μὲν τὸ μέγεθοc εὑρίcκεται πηχῶν δύο, 1 ἐκ πάχουc δὲ ἐπὶ λεπτὸν ἧκται. ἔcτι δὲ οὗτοc εὐθύποροc καὶ βραδύποροc, τὴν δὲ κεφαλὴν ἔχει πλατεῖαν, cτόμα δὲ ἄποξυ· κατέρρανται δὲ καθ᾽ ὅλον τὸ cῶμα cτιγμαῖc λευκαῖc. cυμβαίνει δὲ τοῖc ὑπὸ τούτου δηχθεῖcιν ἀπὸ μὲν τῶν τρήcεων ἐμφανῶν οὐcῶν αἷμα ἐκκρίνεcθαι, καὶ μετ᾽ ὀλίγον ἰχῶρα δυcώδη, οἴδημά τε καὶ ἄλγημα ⟨νωθρόν⟩. 2 τὰ δὲ πεπονθότα μέ|ρη cηπόμενα λευκαίνεται, ἀλφοειδὴc δὲ καθ᾽ fol. 281ᵛ ὅλον τὸ cῶμα ἐπι⟨γίνεται⟩ χρόα, ῥύcειc τε τριχῶν τῶν καθ᾽ ὅλον τὸ cῶμα. τελευτῶcιν δὲ μέχρι τριῶν ⟨ἢ τεccάρων⟩ ἡμερῶν.

βοηθοῦνται δὲ καὶ οὗτοι τοῖc ἐπὶ κεράcτου καὶ ἀμμοδύτου εἰρημένοιc

3 *SIM. Ps. D. 32 (89); Paul. Aeg. V 18.*
20 *SIM. Nic. Th. 147 sq. (ex Apollod.); Ael. n. a. XVI 40 (e Sostr.); Isid. XII 4, 17.*
20 *EXC. Aet. XIII 26.*

2 ὁμοίωc *suspectum, fort.* οἷον ὡc 5 τῆc ῥίζηc D, *fort. recte* οἴνου D 7 θύμβρᾳ D: θύμβρῳ P 8 ἀγρίων πηγάνων ἢ ἡμερῶν P: *correxi* καὶ *addidi e* D ἀεροδέλλω P 10 ἀμμωδίτου P 13 πινόμενοc P: *correxi* 18 ἁρμόζουcιν P, *fort.* ἁρμόζει 22 τε καὶ *Aet.* 24 *post* cτιγμαῖc *add.* πολλαῖc *Aet.* 25 δηχθεῖcιν *Aet.*: ληφθεῖcιν P 26 νωθρόν *addidi ex Aet.* 27 ἀλφιτοειδὴc *vel* ἀλφοειδὴc *Aet.* 28 ἐπιχροιαι *(sic)* P: *correxi Aetio duce* 29 γ̄ P ἢ τεccάρων *addidi ex Aet.* 30 ἐπὶ ἐχίδνηc καὶ κεράcτου *Aet.*

23 3 βοηθήμαϲιν. καὶ Ἀπολλώνιοϲ δὲ ἐν τοῖϲ Εὐποπίϲτοιϲ ὑποτίθεται ἐπὶ
τούτων βοηθήματα τάδε· βούτυρον μετὰ μέλιτοϲ ἐνάλειφε τὸν δεδηγ-
μένον τόπον. πότιζε δὲ τρύγα μελικράτου προϲφάτου, ἐπιβάλλων ὄξοϲ
καὶ ἀποϲειρώϲαϲ, ἢ ὀξύμελι ἢ μαράθρου καρπὸν ἑφθὸν μετ᾽ οἴνου
λευκοῦ κοτύληϲ ἥμιϲυ, ἢ πάνακοϲ ⟨ῥίζαν⟩ ὁμοίωϲ ϲύμμετρον μετ᾽
4 οἴνου δίδου· ϲυμφέρει δὲ καὶ ϲπόγγουϲ ὄξει θερμῷ βεβρεγμένουϲ τῷ
δήγματι προϲτιθέναι. ἐκ δὲ τῶν Ϲτράτωνοϲ· χυλὸν ἀνδράχνηϲ ὡϲ
πλεῖϲτον δίδου πιεῖν, ἢ μυρτίτην οἶνον ζωρότερον δίδου, ἢ ἀμπέλου
⟨ἕλικα⟩ϲ ϲὺν οἴνῳ ⟨καὶ⟩ ὄξει λειώϲαϲ δίδου πίνειν.

κδ ὕδροϲ καὶ χέρϲυδροϲ.

1 ὁ μὲν ὄφιϲ οὗτοϲ κατὰ τοῦτο ὠνόμαϲται χέρϲυδροϲ· ἐν μὲν γὰρ
ταῖϲ ἀρχαῖϲ διατρίβει ἐν ⟨τοῖϲ⟩ ἐνύδροιϲ τόποιϲ καὶ λέγεται ὕδροϲ,
μετέπειτα δὲ ἐν τοῖϲ καταξήροιϲ τόποιϲ, καὶ κατ᾽ ἐπιϲύνθεϲιν τῶν
τόπων τοὔνομα κέκτηται. ἐν τῇ χέρϲῳ ⟨οὖν⟩ διατρίβων [καὶ] καλεῖται
2 χέρϲυδροϲ, ὅτε δὴ καὶ χαλεπώτεροϲ ἑαυτοῦ μᾶλλον γίγνεται· ἐν μὲν
γὰρ τοῖϲ καθύγροιϲ ⟨τόποιϲ⟩ τῆϲ ὑγρᾶϲ ἐμφορούμενοϲ τροφῆϲ οὐκ
ἄκρατον τὸν ἰὸν ἔχει, χερϲαῖοϲ δὲ γενόμενοϲ εἰλικρινέϲτατον τοῦτον
ἴϲχει καὶ χαλεπώτερον. ὡμοίωται δὲ ἀϲπίδι χερϲαίᾳ μικρᾷ δίχα τοῦ
πλατύνειν τὸν αὐχένα· τοῦτο γὰρ ἐξαίρετον μόν⟨αι⟩ αἱ ἀϲπίδεϲ ἔχουϲιν.
3 τοῖϲ οὖν ὑπὸ τούτων δηχθεῖϲιν πλατύνεται τὸ ἕλκοϲ ⟨καὶ⟩ διόγ-
fol. 282r κωϲιϲ ϲυμβαίνει, | πόνοϲ ϲυνεχήϲ, πυρώδηϲ, πελιὸϲ ὁ τόποϲ καὶ τρυ-
γώδηϲ, ἴλιγγοι, ἐκλύϲειϲ, ἀπορίαι, ἔμετοι χολωδῶν δυϲωδῶν· κατὰ δὲ
τὸ ἴδιον κίνηϲιϲ ὅλου τοῦ ϲώματοϲ ⟨ἄτακτοϲ⟩, ὡϲ καὶ κατὰ κοιλίαν
τινὰ φέρεϲθαι ἀνοίκεια, καὶ περίπρηϲιϲ ὅλου τοῦ ϲώματοϲ. ὁ δὲ θάνατοϲ
μέχρι διὰ τρίτηϲ. ἴαϲιϲ δὲ τοῦ κακοῦ ϲὺν χρόνῳ ⟨γίνεται⟩ καὶ μόλιϲ
κατορθοῦται.
4 βοηθοῦνται δὲ οὗτοι ἐκ τῶν κοινῶν βοηθημάτων, καὶ ἰδίωϲ
τοῖϲδε· πρῶτον μὲν ἀντιδότοιϲ θηριακαῖϲ ταῖϲ προγεγραμμέναιϲ, ἔτι

10 *SIM. Nic. Th. 359 (ex Apollod.); cf. Ael. n. a. VIII 7 (ex Apollod.); Isid. XII 4, 22 sq.*
10 *EXC. Aet. XIII 35.*
20 *SIM. Ps. Diosc. 14 (72) 31 (89); Paul. Aeg. V 17.*

2 *fort.* τῷ δεδηγμένῳ τόπῳ 3 μελικήριδοϲ P: *correxi* 4 μαλάθρου P: *correxi* 5 ῥίζαν *addidi ex Aet.* 6 διδούϲ P: *correxi* 7 *Stratonis nomen om. Aet.* *post* ϲτράτωνοϲ *add.* ·/. P 8 ἀμπέλουϲ P: *correxi coll. Aet.* ἢ ἀμπέλου ἕλικαϲ ϲὺν οἴνῳ 9 καὶ *addidi* 12 τοῖϲ *addidi ex Aet.* 13 καταξήροιϲ] ηταξηροῖϲ P: *correxi* ἐπιϲύνθεϲι P 14 οὖν *addidi ex Aet.* καὶ *om. Aet.*: *delevi* 16 τοῖϲ *superscr. pr. m. P* τόποιϲ *addidi ex Aet.* 18 ὁμοίωται P: *correxi* 19 μόναι P: *correxi* 20 καὶ *addidi* 21 ϲυνεχήϲ] ϲυνἔχειϲ P: *correxi,* πόνοι ϲυνεχεῖϲ *Aet.* 22 ἐκλύϲειϲ *Aet.*: ἐκκλύϲειϲ P 23 ἄτακτοϲ *addidi ex Aet.* 24 ἀνοικείωϲ *Aet.* 25 γίνεται *addidi* 27 οὗτοι *scripsi:* αὐτοὶ P

δὲ καὶ τούτοις· κυπαρίσσου καρποῦ < α̅, μυρσίνης καρποῦ < α̅· **24** 4 ταῦτα κοπέντα καὶ συλλεανθέντα διδόναι πιεῖν ⟨σὺν⟩ ὑδρομέλιτι ἢ οἰνομέλιτι· ἢ ἀριστολοχίας < β̅ ἢ ἐν κράματι ἢ ὀξυκράτῳ κυ ϛ̅, ἢ πρασίου χυλόν, ἢ ἀφέψημα ὁποτέρου σὺν οἴνῳ, ἢ πρόσφατον κηρίον μετ᾽ ὄξους, κατὰ δὲ τῶν πεπονθότων τόπων ἄσβεστος ⟨ἐπιτιθέσθω⟩ 5 σὺν ἐλαίῳ λελειωμένη, ἢ ὀρίγανος ἀναφυραθεῖσα ὕδατι, ἢ δρυὸς ῥίζης ⟨ὁ⟩ φλοιὸς λειοτριβηθεὶς καὶ κρίθινον ἄλευρον μετὰ μέλιτος συντετηκός. χρώμεθα δὲ καὶ τοῖς ἄλλοις ἐπισπαστικοῖς.

κε̅ περὶ δρυίνου.

οἱ δὲ λεγόμενοι δρυίναι ὄφεις πλεονάζουσιν μᾶλλον κατὰ τὸν 1 Ἑλλήσποντον, ἐμφωλεύουσι δὲ ἐν ταῖς τῶν δρυῶν ῥίζαις, ὅθεν καὶ δρυίναι λέγονται. εἰσὶ δὲ δυσώδεις, διὸ καὶ μὴ ὁρώμενοι γνωρίζονται, ἔνθα εἰσίν· ⟨ἔστι⟩ δὲ ὡσεὶ πηχῶν β̅, καταπίμελος δέ, φολίσιν καθ᾽ ὅλον τὸ σῶμα πεφρουρημένος τραχυτάταις· ἐν δὲ ταύταις ταῖς φολίσιν ἐμφωλεύειν φασὶν μυίας τὰς χαλκοπτέρους, αὗται δὲ ἀναιροῦσιν τοὺς ὄφεις.

τοῖς οὖν ὑπὸ τούτων δηχθεῖσιν παρακολουθεῖ | τάδε· οἴδημα 2 fol. 282ᵛ μελανίζον, ἄλγημα σφοδρόν, νομή, παρακοπή, ξηρότης σώματος, λυγμός, ἔμετος χολωδῶν, οὔρων ἐποχή, ἀφωνία, κάρος, τρόμος καὶ μετὰ ῥωγμοῦ θάνατος, τοῖς δὲ πατήσασιν αὐτὸν ἐκδορὰ σκελῶν καὶ οἰδήματα, ⟨καὶ⟩ καθ᾽ ὅλου κατὰ νέκρωσιν τῶν ⟨δηχθέντων⟩ τόπων ὁ θάνατος τοῖς πλείστοις· οὕτω δὲ δυναμικώτατος ὁ ἰός, ὡς καὶ τοὺς θεραπεύοντας ἰατροὺς τὰς χεῖρας βλάπτειν.

βοηθεῖ δὲ καὶ τούτοις ἀριστολοχία μετ᾽ οἴνου πινομένη καὶ ἡ 3 τρίφυλλος πόα, ῥίζα τε ἀσφοδέλου παραπλησίως λαμβανομένη, καὶ δρυὸς πάσης ὁ καρπὸς πινόμενος καὶ καταπλασσόμενος ἀρήγει·

9 *SIM. Nic. Th. 411 sq. (ex Apollod.); Ael. n. a. VIII 7 (e Sostr.-Apollod. cf. O. Schneider Nic. 195); Gal. XIV 234; Ps. D. 11 (70); Paul. Aeg. V 15.*
9 *EXC. Aet. XIII 29.*
24 *SIM. Ps. D. 29 (87); Paul. Aeg. V 15.*

2 δίδοται P: δίδου *Aet.: correxi* σὺν *addidi ex Ael.* 3 ἀριστολοχίας β P: *correxi* ἢ *(alt.) fort. delendum* κράματι ὀξυκράτου D κυάθοις δυσίν DA, *fort. recte* 4 *post* οἴνῳ *add.* A ἢ κάρδαμον ἄγριον ἢ καρπὸς ἀσφοδέλου ἢ τὸ ἄνθος ἢ μαράθρου σπέρμα σὺν οἴνῳ 5 ἐπιτιθέσθω *addidi* 6 ἀναφυραθεῖσα P: λεία φυραθεῖσα D 7 ὁ *addidi* 10 δρυίνοι *Aet.* 13 ἔστι *addidi ex Aet.* *post* β̅ *add.* τὸ μῆκος *Aet.* φολίσι *Aet.*: φασιν P: *correxi* 14 πεφρουρημένος *Aet.*: περιφρουρημένος P 15 μυίας *Aet.*: μυῖς P 17 τούτων *Aet.*: τούτους P 18 στόματος *Aet.*, *at cf. Nic. Th. 428* 19 χολωδῶν ἢ αἵματος *Aet.* 20 ῥωγμός, νέκρωσις τῶν δηχθέντων τόπων, τοῖς δὲ πλείστοις καὶ θάνατος *Aet.* *fort.* αὐτοὺς 21 καὶ *addidi* δηχθέντων *addidi ex Aet.* 24 βοηθεῖς P: *correxi* 25 παραλαμβανομένη A 26 *post* καρπὸς *addidit* λεῖος A

25 3 βοηθοῦνται δὲ καὶ τοῖϲ ἐπ' ἐχεοδήκτων εἰρημένοιϲ καὶ ⟨ἐκ⟩ τινῶν τῶν κοινῶν καὶ καθολικῶν ἀνάλογον τοῖϲ παρακολουθοῦϲιν ϲυμπτώμαϲιν τοῖϲ πεπληγμένοιϲ.

κϛ̄ περὶ κεγχρίνου τοῦ καὶ ἀκοντίου.

1 ὁ κεγχρίνηϲ ὄφιϲ κατὰ μέγεθόϲ ἐϲτι πηχῶν β̄, ϲχήματι δὲ ἀπὸ πάχουϲ ἐπὶ λεπτὸν ἠγμένοϲ, κατὰ δὲ χρόαν χλωρὸϲ καὶ μάλιϲτα κατὰ τὴν κοιλίαν, ὡϲ κέγχρῳ κατὰ τὸ χρῶμα ὁμοιοῦϲθαι, διὸ ⟨καὶ⟩ κεγχρίαν αὐτόν τινεϲ ὠνόμαϲαν. ἄλλοι δέ φαϲιν μὴ κατὰ τοῦτο αὐτὸν κεγχρίαν λέγεϲθαι, ἀλλ' ὅτι μάλιϲτα ἑαυτοῦ ἀλκιμώτεροϲ γίνεται, ὅταν ἡ κέγχροϲ θάλλῃ. ἐν δὲ τῷ ἀμύνεϲθαι ἀκοντίζων ἑαυτὸν προϲέρχεται καὶ οὕτω πλήττει, ἔνθεν καὶ ὠνόμαϲται ἀκοντίαϲ.

2 παρέπεται δὲ τοῖϲ ὑπὸ τούτου δηχθεῖϲιν, ἃ καὶ ἐπὶ τῶν ἐχεοδήκτων, καὶ ἔτι χαλεπώτερα, ὥϲτε καὶ ϲηπεδόναϲ καὶ ἀπόρρευϲιν ϲαρκῶν ἐπακολουθεῖν, καὶ δεινότερον αὐτοῖϲ τὸν θάνατον ἐπιγίνεϲθαι. fol. 283r τὰ δὲ βοηθήματα ὅμοια τοῖϲ τῶν ἐχεοδήκτων καὶ τῶν | ἄλλων τῶν ὁμογενῶν τῶν τὰ ὅμοια νοϲήματα παρεχόντων.

κζ̄ ἀμφίϲβαινα καὶ ϲκυτάλη.

1 ταῦτα τὰ ζῷα ὅμοιά ἐϲτιν ἀλλήλοιϲ· οὐ γὰρ ἐκ πάχουϲ ἐπὶ μείουρον ἧκται, ἀλλ' ἰϲοπαχῆ ἐϲτιν, ὡϲ μὴ νοεῖϲθαι ὑπὸ τῶν ὁρώντων, κατὰ ποῖον μέροϲ ἐϲτὶν ἡ κεφαλὴ καὶ ⟨κατὰ⟩ ποῖον ἡ οὐρά. μόνον δὲ διαφέρει τῆϲ ϲκυτάληϲ ἡ ἀμφίϲβαινα τῷ κατὰ ἀμφότερα τὰ μέρη βαίνειν, παρὸ καὶ ἀμφίϲβαινα κέκληται.

2 ϲυμβαίνει δὲ τοῖϲ ὑπὸ τούτων πληγεῖϲιν τὸ μὲν δῆγμα ⟨ἀ⟩μυδρὸν ὁρᾶϲθαι, ὡϲ ἂν ἀπὸ μυίαϲ κέντημα, δακόντα δὲ οὐκ ἀναιρεῖ, φλεγμονὰϲ δὲ [οὐ] μόνον ἐπιφέρει, ὡϲ ἐπὶ ϲφηκῶν καὶ μελιϲϲῶν, ὅθεν

4 *SIM. Nic. Th. 458 sq.; Pl. n. h. VIII 85; Ael. n. a. VI 18. VIII 13 (e Sostr.); Gal. XIV 234; Paul. Aeg. V 18, ex quo sua habet Ps. D. 15 (72). 32 (89).*
4 *EXC. Aet. XIII 27.*
17 *SIM. Nic. Th. 372 sq. 384 sq. cum schol.; Pl. n. h. VIII 85; Ael. n. a. IX 23; Hes. s. v. (e Sostr.), cf. Ps. D. 10 (70). 28 (87); Paul. Aeg. V 14.*
17 *EXC. Aet. XIII 30.*

1 ἐπιχεοδήκτων P   ἐκ *addidi, cf. c. 24, 4*   4 ἀκονίτου P: *correxi*   5 κεγχρίτηϲ *Aet.*   6 λεπτὸν *Aet.*: λεπτὴν P   7 κέγχρῳ *Aet.*: κέγχλω P   χρῶμα *Aet.*: ϲῶμα P   καὶ *addidi ex Aet.*   8 τινεϲ *om. mg. add.* P *(pr. m.)*   10 θάλλει P: *correxi*   ἀκοντίζων ἑαυτὸν] ἐκτείναϲ ἑαυτὸν πάνυ καὶ ὥϲπερ τι ἀκόντιον ἐφαλλόμενοϲ τοῖϲ ϲώμαϲιν *Aet., cf. Ael. l. s.*   14 δεινοτέραιϲ P: *correxi*   15 ὅμοια τοῖϲ] ὁμοίωϲ P: *correxi*   16 τῶν] τοῖϲ P: *correxi*   18 ἐϲτιν] ·/. ·/. (= εἰϲὶν) P: *correxi*   20 κατὰ *addidi ex Aet.*   21 τῷ] τὸ P: *correxi*   23 ἀμυδρῶϲ *Aet.*: μυδρὸν P: *correxi*   25 οὐ *delevi Aetio duce*

μεταγέσθω καὶ ἐπὶ τούτων τὰ αὐτὰ βοηθήματα, καὶ ἔτι τὰ ἐπὶ χερ- **27** 2
σύδρου εἰρημένα. παρὰ δὲ Σωρανῷ ἱστορεῖται ἡ Χαλκηδονικὴ σκυ- **3**
τάλη ὅμοια συμπτώματα παρέχουσα τοῖς δηχθεῖσιν ὑπὸ ἐχίδνης παρ-
ακολουθοῦντα, διὸ καὶ τοῖς αὐτοῖς βοηθήμασιν χρηστέον. καὶ καθ᾽ ὅλου
ἁπλῶς ⟨εἰπεῖν⟩ ἐπὶ παντὸς θηριοδήκτου τῶν κατωνομασμένων εἰδῶν
τὰ πρὸς ἐχεοδήκτους ἁρμόζει βοηθήματα, ὡς ἂν καθ᾽ ὅλου ὄντα πρὸς
παντὸς ἰοβόλου πληγὴν εὐάρμοστα.

κη πελιὰς καὶ ἔλοψ.

τὰ μὲν σημεῖα τούτων τῶν ζῴων παρὰ τοῖς θηριακοῖς οὐχ **1**
ηὗρον, τὰ δὲ παρακολουθοῦντα τοῖς ὑπ᾽ αὐτῶν πεπληγμένοις καὶ τὰς
θεραπείας, ἃς ηὗρον, ἀναγράψομαι.

τοῖς τοίνυν ὑπὸ τῆς πελιάδος δηχθεῖσιν συμβαίνει πόνος περὶ τὸν
τόπον καὶ σηπεδὼν ἀκίνδυνος, καὶ τῶν ὀφθαλμῶν περιωδυνία καὶ
ἀμαύρωσις ἐκ τοῦ τὸν ἰὸν ἐπ᾽ αὐτοὺς ἀναδίδο|σθαι. θεραπεύονται fol. 283ᵛ
δὲ οὔρῳ μὲν σαπρῷ τοὺς ὀφθαλμοὺς ἐγχυματιζόμενοι ἢ ἅλμῃ, ἢ οὔρῳ **2**
ἀφθόρου παιδὸς καταντλεῖν αὐτῶν τὴν κεφαλὴν καὶ ἐγχυματίζειν τὰ
ὄμματα, ἢ καὶ ὀποβάλσαμον μετὰ μέλιτος Ἀττικοῦ ἢ καὶ εὐφόρβιον
ὁμοῦ μίξας ἔγχριε. εὐθετεῖ δὲ ἐπὶ τούτων καὶ ⟨τὰ⟩ δριμέα κολλύρια **3**
τὰ ὀξυδερκικὰ ὑπαλειφόμενα· ἀμύσσοντα γὰρ τοὺς ὀφθαλμοὺς ἀραιοῖ
τοὺς πόρους, καὶ ἅμα τῇ δακρυρροίᾳ ὁ ἰὸς ἐκκρίνεται. ὅταν δὲ λήξωσιν
οἱ ἐν βάθει πόνοι, μόνη δὲ περὶ τοὺς ὀφθαλμοὺς ἡ ὀδύνη ᾖ, τότε
μεταβαίνειν ⟨δεῖ⟩ ἐπὶ τὰ ἁπαλὰ καὶ ἀνώδυνα κολλύρια· προπότιζε
δὲ τούτους τὸν τῆς πτισάνης χυλὸν μετ᾽ ἐλαίου.

τοῖς δὲ ὑπὸ τοῦ ἔλοπος δηχθεῖσιν παρακολουθεῖ στρόφος εἰλεώδης· **4**
θεραπεύονται δὲ οἱ ὑπὸ τούτου δηχθέντες τοῖς κοινοῖς βοηθήμασιν, καὶ
μάλιστα τοῖς διουρητικοῖς καὶ παρηγορικοῖς τῶν στρόφων.

12 *SIM. Ael. Pr. (f. 480ᵛ).*
12 *EXC. Aet. XIII 32.*
24 *SIM. Ael. Pr. (f. 481ʳ).*
24 *EXC. Aet. XIII 32.*

2 *Sorani nomen om. Aet.* χαλκιδικὴ *Aet.* 3 ὅμοια *Aet.:* χείρονα P ὑπὸ *Aet.:* τύπω P 5 εἰπεῖν *addidi,* συντόμως εἰπεῖν καθ᾽ ὅλου *Aet.* 8 ἐλόψ P: ἔλαψ *Aet., at cf. Nic. Th. 490* 9 οὐχ ηὗρον] οὐ γέγραπται παρὰ τοῖς ἀρχαίοις, ὡς δῆλα πᾶσιν ὄντα *Aet., descr pt. habet Pr.* 14 ἐπ᾽ αὐτοὺς *Aet.:* ἐπ᾽ αὐτοῖς P 18 τὰ *addidi ex Pr.: ras. 2 vel 3 litt. habet* P 19 ὀξυδερμικά P 20 ὁ ἰὸς *Aet. Pr.:* ὅρος P 21 οἱ ἐν *Pr.:* οἷον P ᾖ *Pr.:* εἴη P 22 μεταβαίνειν δεῖ *Pr.:* μεταβαίνει P 24 ληφθεῖσιν P: *correxi* τοῖς τοίνυν ἐκ τοῦ ἔλλοπος πεπληγμένοις ἕπεται ὀδύνη τοῦ πλήγματος καὶ ἐπανάστασις στρόφοι τε εἰλεώδεις *Pr.*

κθ ἀγαθοδαίμων καὶ τυφλίας.

29 καὶ τούτων ὁμοίως τὰ cημεῖα οὐ παράκειται τῆς ἰδέας παρὰ
τοῖς θηριακοῖς. τὰ δὲ παρακολουθοῦντα τοῖς πεπληγόσιν ἐστὶ τάδε·
τοῖς μὲν ὑπὸ τοῦ ἀγαθοδαίμονος ὀδύνη κατ' ἰδίαν, τοῖς δὲ ὑπὸ τοῦ
τυφλίου ὀδύνη μετὰ πυρώσεως· διὸ καὶ θεραπεύεσθαι ὀφείλουσιν τοῖς
ἀναλόγοις βοηθήμασιν.

λ δράκων.

1 τὸ ζῷον τοῦτο οὐκ ἔστιν μὲν ἰοβόλον, ἀλκῇ δὲ καὶ δυνάμει ἀναι-
ρεῖ. πλεονάζουσιν μὲν οὖν οἱ δράκοντες ἐν τῇ Αἰθιοπίᾳ καὶ ἐν τῇ
fol. 284r Λυκίᾳ, τῷ δὲ χρώματι διαφέρουσιν· οἱ | μὲν γὰρ αὐτῶν εἰσι μέ-
2 λανες, οἱ δὲ κιρροί, οἱ δὲ τεφρώδεις· μεγέθει δὲ πάλιν κατὰ πολὺ
διαφέρουσιν· οἱ μὲν γάρ εἰσιν πήχεων πέντε, οἱ δὲ δέκα, οἱ δὲ δέκα
πέντε, οἱ δὲ εἴκοσιν, οἱ δὲ τριάκοντα, ἱστοροῦνται δὲ καὶ μείζονες.
φολίσιν δὲ κέχρηνται καθ' ὅλον τὸ cῶμα, μεγάλους δὲ ἔχουσι τοὺς
ὀφθαλμούς, καὶ ὑπὲρ τούτους δὲ ἔχουσιν ἐξοχάς τινας, ἐοικυίας ἐπι-
σκυνίοις, ὑπὸ δὲ τῷ γενείῳ ἀπόφυσίν τινα ἔχουσιν, ἣν καλοῦσιν πώ-
3 γωνα. τὰ δὲ τῶν στομάτων διαστήματα μεγάλα, προπετὴς γλῶσσα,
ὀδόντες μεγάλοι, ἐοικότες τοῖς τῶν ἀγρίων ὑῶν· ἔνθα δὲ ἂν δάκωσιν,
κατάγματα ἀπεργάζονται. αἱ γοῦν θεραπεῖαι ὡς ἀπὸ τραύματος ἐπιτε-
λείσθωσαν καὶ οὐχ ὡς ἀπὸ ἰοβόλου ζῴου.

λα βασιλίσκος.

1 τὸ ζῷον τοῦτό ἐστι μὲν μεγέθει παλαιστῶν τριῶν, ὀξυκέφαλον
δὲ καὶ κατὰ χρόαν ξανθόν. δύναμιν δὲ ἔχει μεγίστην ὑπὲρ τὰ ἄλλα
ἑρπετὰ πάντα, ὡς μηδὲ ἓν αὐτοῦ τὸν συριγμὸν ὑπομένειν, ἀλλὰ κἂν
εἰς τροφὴν ἢ ποτόν τινα τῶν ζῴων ἐπείγηται καὶ αἴσθηται τῆς τοῦ

1 *SIM. Ael. Pr. (f. 481r); Ael. n. a. VIII 13 (e Sostr.-Apollod.).*
7 *SIM. Nic. Th. 438 sq.; Isid. XII 4, 4. 5.*
7 *EXC. Aet. XIII 34.*
21 *SIM. Nic. Th. 396 sq.; Ael. Pr. (f. 481r); Pl. n. h. VIII 78 (ex Iuba); Ps. D. l. s. 18 (74). 35 (90); Gal. XIV 233; Paul. Aeg. V 20; Isid. XII 4, 6.*
21 *EXC. Aet. XIII 33.*

1 ἀγαθοδαίμων *Pr.*: ἀγαθουδαίμων P   τυφλίας *Pr.*: τυφλίον P: τυφλῖνος *Apollod. (schol. Nic. Th. 491)*: τυφλῶπες *Nic. Th. 492, cf. Hes. s. v.*   2 οὐ παράκειται] *at habet descript. Pr. l. s. Ael. n. a. l. s.*   8 ὀλκῇ P: *correxi*   12 ἐcτιν P: *correxi*   ε̄ οἱ δὲ ῑ οἱ δὲ ιε̄ οἱ δὲ κ· οἱ δὲ λ̄ P   15 τούτου P: *correxi*, ὑπὲρ τοὺς ὀφθαλμοὺς *Aet.*   ἐπισκυνίοις *Aet.*: ἐπισκηνίοις P   16 τῷ γενείῳ *Aet.*: τῶν γενίων P   18 ἀγροίων ὑιῶν P: *correxi*   19 ἀπὸ P: ἐπὶ *Aet.*   20 ἀπὸ P: ἐπὶ *Aet.*   22 γ̄ P   23 μεγίστην *Aet.*: μαίστην P   25 εἰς P *et Pr.*: ἐπὶ *Aet.*

θηρίου περὶ τὸν τόπον παρουςίας, πάλιν πορεύεται καὶ ἀναχωρεῖ, **31** 1
ὅθεν καὶ ἐλήλυθεν, μηδὲ τῆς ἀναγκαίας πρὸς ζωὴν τροφῆς φροντί-
σαντα· τηλικαύτην ἔχει δύναμιν.

τοῖς δὲ ὑπ' αὐτοῦ δηχθεῖςιν ςυμβαίνει φλόγωςις ὅλου τοῦ ςώ- 2
ματος καὶ πελίωςις ὑπὸ τῆς ὑπερκαύςεως τοῦ ἰοῦ· ἀπορρέουςιν δὲ αἱ
τρίχες ἀπὸ τοῦ ςώματος, ὡς μηδὲ ζωῆς τὸν τυχόντα χρόνον ἔχειν
τὸν ὑπὸ τούτου πληγέντα, ἀλλὰ μὴν οὐδὲ τοῦ ςώμα|τος τοῦ ὑπ' fol. 284v
αὐτοῦ θανόντος οὐδὲ ἓν ςαρκοφάγον θιγγάνει. εἰ δέ τι τούτου ὑπὸ 3
λιμῷ ἐγεύςατο, αὐτόθι καὶ αὐτῷ ὁ θάνατος ἐπιςκήπτει, ὅθεν μάταιον
καὶ περιςςὸν ἡγούμεθα βοηθήματα ἀναγράφειν, οὐδενὸς τὸ καθ' ὅλου
ςῴζεςθαι δυναμένου τῶν ὑπὸ τούτου πεπληγμένων. [ὡς] Ἐραςί-
ςτρατος δέ φηςι καςτορίου ⋖ γ̄ πινομένας ςὺν οἴνῳ βοηθεῖν, ὡςαύ-
τως δὲ καὶ τὸν τῆς μήκωνος ὀπόν.

λβ̄ πάρωος καὶ ςπαθίουρος καὶ ςκολόπενδρα.

ὁ πάρωος ὄφις ⟨ἐν τοῖς⟩ κατὰ τὴν Συρίαν τόποις εὑρίςκεται. 1
οὗτοι δὲ χρώματι ⟨οἱ⟩ μέν εἰςι χαλκίζοντες, ⟨οἱ δὲ μελανίζοντες, οὐκ
ἀναιροῦςι δὲ δακόντες⟩, ἀλλ' ὡς ἡ ἀμφίςβαινα ⟨καὶ⟩ ἡ ςκυτάλη, οὕτως
καὶ οὗτος πλήξας φλεγμονὰς μόνον ἐπάγει, διὸ καὶ τοῖς αὐτοῖς θερα-
πευέςθωςαν οἱ ὑπὸ τούτου πληγέντες.

ὁ δὲ ςπαθίουρος ἐν τοῖς κατὰ τὴν Χαλκίτιδα τόποις ⟨εὑρίςκε- 2
ται⟩. ἔςτι δὲ τὸ ζῷον ἐκ πάχους ἐπὶ λεπτὸν ἠγμένον ἐπὶ τὴν οὐράν,
πλατυκέφαλον δέ· ἔςτι δὲ μυςὶ ἔχθιςτον. οὐκ ἀναιρεῖ δὲ οὐδὲ οὗτος
δάκνων, ἀλλὰ μόνον φλεγμονὰς ἐπιφέρει· διὸ καὶ οἱ ὑπ' αὐτοῦ πλη-
γέντες τοῖς ὁμοίοις θεραπευέςθωςαν.

11 *SIM. Ps. D. l. s. 35 (91); Paul. Aeg. V 20.*
14 *SIM. Ael. n. a. VIII 12 (ex Sostr.-Apollod.); Ael. Pr. (f. 481v); Hes. s. v.* παρεῖαι ὄφεις.
14 *EXC. Aet. XIII 31.*

3 *fort.* ἔχει τὴν 4 δηχθεῖςι *Aet.:* ληφθεῖςιν P 5 καύςεως *Pr.* 6 μήτε P: *correxi* 8 θανέντος P: *correxi* 8. 9 ὑπὸ λιμῷ] πολλὴ λιμῶ P: ὑπὸ λιμοῦ βιαςθὲν *Aet.: correxi* 9 *post* ἐπιςκήπει *e Gal. (XIV 233) add. Aet.* φαςὶ δὲ ὅτι καὶ ὁραθεὶς μόνον καὶ ςυρίττων ἀκουςθεὶς ἀναιρεῖ τοὺς ἀκούοντας αὐτοῦ καὶ τοὺς ὁραθέντας ὑπ' αὐτοῦ 11 ὡς *delevi* 12 ⋖ γ̄ PA: ⋖ α' *D. l. s.* πινόμεναι P: *correxi* 13 τὸ τοῦ μήκωνος ὄπιον P: *correxi e* D 14 πάωρος P (παρωος *ind.*): παρῶος *Aet.:* πάρουρος *Pr.:* παρούας *Apollod.:* παρείας *Ael. l. s.: correxi* ςκολόπενδρος P: *correxi coll. indice* 15 ἐν τοῖς *addidi ex Aet et Pr.* 16 οἱ *(pr.) addidi ex Aetio* ἐςτιν P: *correxi* 16. 17 οἱ δὲ μελανίζοντες, οὐκ ἀναιροῦςι δὲ δακόντες *ex Aet. addidi* 17 καὶ *ex Aet. addidi* 20 χαλκίτιδα P: χαλκίδα *Aet. et Pr., fort. recte* εὑρίςκεται *ex Aet. et Pr. addidi* 21 τὸ *om. Aet. et Pr.* 22 πλατυκέφαλον *om. Pr.* πλατυκέφαλον ·/. δὲ· μυαιρέθιςτον P: ἔςτι δὲ καὶ μιερέθιςτον *Pr.: correxi* 23 οἱ *superscr.* P *(pr. m.)*

32 3 τοῖc δὲ ὑπὸ τῆc cκολοπένδρηc δεδηγμένοιc παρακολουθεῖ
κνηcμόc, οἴδημα μέτριον, πόνοc λυόμενοc cυντόμωc· διὸ καὶ αὐτοὶ τοῖc
κοινοῖc βοηθοῦνται φαρμάκοιc. Ἀπολλώνιοc δὲ ἐν τοῖc Εὐπορίcτοιc
παραινεῖ ὀξάλμῃ δριμείᾳ θερμῇ καταντλεῖν τοὺc τόπουc καὶ κατα-
πλάccειν ἁλὶ λείῳ μετ' ὄξουc.

λγ μυγαλῆ.

1 ⟨ἡ⟩ μυγαλῆ ἀπεικάζεται μὲν κατὰ τὴν χρόαν τῇ κατοικιδίῳ γαλῇ,
κατὰ δὲ τὸ μέγεθοc μυί, ὅθεν καὶ cύνθετον τὸ ὄνομα ἔχει. ⟨ἔcτι δὲ⟩
fol. 285r τῇ χρόᾳ τεφρώ|δηc, cτόμα ἔχει ἐπίμηκεc, λεπτῇ καὶ κολοβῇ οὐρᾷ
⟨κέχρηται⟩· ὀδόνταc ⟨δὲ⟩ λεπτοὺc ἔχει, καὶ τούτουc ἐν διcτοιχίᾳ καθ'
2 ἑκατέραν [δὲ] γένυν, ὡc εἶναι τετραcτιχίαν ὀδόντων. τοῖc οὖν ὑπ'
αὐτῆc δηχθεῖcιν αἱ τρώcειc ἐμφανεῖc γίγνονται — τεccάρων γὰρ cτίχων
τρώcειc ὁραθήcονται — αἷμά τε ἐκκρίνεται ⟨πρῶτον καθαρόν⟩, μετ'
ὀλίγον δὲ ἰχωρῶδεc· τὸ γὰρ ζῷον cήψει κτείνει. εἰώθαcι δὲ καὶ
φλύκταιναι ἐπανίcταcθαι, ἃc εἴ τιc ἀποcύροι, ὄψεται τὴν ὑποκειμένην
3 cάρκα τρυγώδη τε καὶ κατερρηγυῖαν· παρακολουθεῖ δὲ τοῖc πεπληγ-
μένοιc καὶ ἐμπνευμάτωcιc. Cτράτων δέ — προιcτορεῖ μὲν γὰρ τὰ
προειρημένα περὶ τοῦ ζῴου καὶ τῶν ὑπὸ τούτου πληγέντων — ἔφη
δέ, ὡc μᾶλλον τὸ ζῷον περὶ τοὺc διδύμουc ἐφάλλεται οὐ μόνον
ἀνθρώποιc, ἀλλὰ καὶ παντὶ ζῴῳ.
4 βοηθοῦνται δὲ καὶ οὗτοι, ἐπειδὴ καὶ cήψει κινδυνεύουcιν, μετὰ τὰ
κοινὰ βοηθήματα οὕτωc· δάφνηc ⟨τὰ⟩ ἁπαλὰ φύλλα cὺν οἴνῳ ἐκ-
λεανθέντα ˊδίδου πιεῖν, καὶ λίαν ὠφελεῖ· ἢ ἀβρότονον καθεψηθὲν δι'

1 *SIM. Ps. D. l. s. 5 (67) 22 (81); Aet. XIII 15; Ael. Pr. (f. 477r); Paul. Aeg. V 9 (unde Theoph. Nonn. 272).*
3 *EXC. Orib. V 681.*
6 *SIM. Ael. Pr. (f. 481v); Ps. D. 8 (69) 26 (84); Paul. Aeg. V 12; cf. Amynt. (schol. Nic. Th. 816), Hippiatr. 220 sq. (ed. Grynaeus).*
6 *EXC. Aet. XIII 14.*

1 cκολοπένδραc D δεδηγμένοιc D: εἰλημμένοιc P 7 ἡ *addidi ex Aet.* 8 ἔcτι δὲ *addidi* ἔcτι δὲ τῇ χρόᾳ τεφρώδηc *om. Aet. et Pr.* 9 τεφρώφρώδειc P *(in conf. pag.)* cτόμα] cῶμα *Pr., at cf. Aet.* cτόμα δὲ ἔχει ἐπίμηκεc καὶ λεπτῇ οὐρᾷ κέχρηται 10 κέχρηται *addidi ex Aet., cf. c. 30, 2* δὲ *addidi ex Aet.* 11 ἑκατέραν *Aet.:* ἑτέραν P δὲ *delevi ex Aet.* εἶναι] ·/. P *(pro .\·)* 12 δηχθεῖcιν *Aet.:* ληφθεῖcιν P 13 τε *Aet.:* δὲ P πρῶτον καθαρόν *addidi ex Aet.* 14 δὲ *(pr.) Aet.:* τε P κτείνει *Aet.:* ἐκτείνῃ P 15 ἐπανίcταcθαι *Aet.:* ἐπαρίcταcθαι P ἀποcύροι *Aet.:* ἀπαcιλοι P ὄψηται P: *correxi* 16 κατερρηγυῖαν P: κατερρωγυῖαν *Aet.* 17 *Stratonis nomen om. Aet.* προcιcτορεῖ P: *correxi* 18 *fort.* τοῦ ζῴου τούτου 19 ἐνάλλεται P: *correxi* 20 ἀνθρώπων ἀλλὰ καὶ παντὸc ἄλλου ζῴου *(τῶν ἄλλων ζῴων Pr.) Aet. et Pr.* 21 καὶ *(alt.) om. Aet., fort. delendum* 22 τὰ *addidi accuratius Aet.* δάφνηc τῶν ἁπαλῶν φύλλων ⩿ α̅ ἢ β̅ cὺν οἴνῳ λεάναc δίδου πίνειν 22. 23 ἐκλεανθέντα P: ἐξ λεανθέντα *coni. Oder*

οἴνου πότιζε, καὶ ἕρπυλλον καὶ εὔζωμον ὁμοίως, καὶ χαλβάνην διεὶς **33** 4
οἴνῳ πότιζε, καὶ κυπαρίσσου τὰ ἁπαλὰ σφαιρία μετʼ ὄξους, καὶ κυκλάμινον μετʼ ὀξυμέλιτος, καὶ πύρεθρον σὺν οἴνῳ. Ἀπολλώνιος δὲ 5
ἐν τοῖς Εὐπορίστοις παραινεῖ· σκόροδα τρίψας σὺν τοῖς λεπίσμασιν καὶ κυμίνου τὸ ἴσον διεὶς ἐλαίῳ κατάπλασσε τὰ δήγματα καὶ συνάλειφε τοὺς κύκλῳ τόπους. ἐὰν δʼ ἐκραγῇ καὶ ἑλκωθῇ, [ἢ] ὀξάλμῃ κατάντλει καὶ κριθὰς καύσας ἐπίπασσε ⟨ἐπὶ⟩ τὰ ἕλκη· οὐκ ἐκραγήσεται δέ, φησίν, ἐὰν μὴ κύουσα τυγχάνῃ ἡ δακοῦσα μυγαλῆ. ἐπὰν δὲ ἑλκωθῇ, σίδια ἑφθὰ ῥόας | γλυκείας κατάπλασσε, καὶ μυρσίνης ἀποζέματι κατ- fol. 285ᵛ
αντλητέον, καὶ πᾶσιν τοῖς πρὸς νομὰς χρηστέον. ὠφελεῖ δὲ καὶ χαλ- 6
βάνης σπληνίον ἐπιτεθὲν κατὰ τοῦ δήγματος, καὶ κρίθινον ἄλευρον μετʼ ὀξυμέλιτος καταπλασθέν, καὶ αὐτὴ δὲ ἡ δακοῦσα μυγαλῆ ἀναπτυγεῖσα καὶ ἐπιτιθεμένη τῆς ἰδίας πληγῆς ἀντιφάρμακόν ἐστι, καὶ πύρεθρον δὲ ἐπιπασσόμενον τῷ τραύματι. Ἀρχιγένης δὲ ἐν τοῖς 7
Κατὰ γένος αὐτοῦ τῶν φαρμάκων βιβλίοις φησί· τοῖς δὲ ὑπὸ τῆς μυγαλῆς δηχθεῖσιν παρέπεται πόνος σφυγματώδης, ἐρύθημα καθʼ ἕκαστον ὀδόντος κέντημα, ἔτι μὴν καὶ φλύκταιναι πλήρεις ἰχώρων, ἐκκρίσεις τε ἰχωρώδεις, ἀποδαρείσης δὲ τέλεον τῆς φλυκτίδος λευκὴ ἡ ὑποκειμένη σὰρξ φαίνεται κατʼ αὐτὸ τὸ ἕλκος· τοῦτο δὲ ἀναξαινόμενον εἰς ὑμένας νευρώδεις ἀναλύεται, πρὸς δὲ τούτοις ἐνίοτε σηπόμενά ⟨τινα⟩
ἐκπίπτει. βοηθοῦνται δὲ οἱ δηχθέντις εὐθέως αὐτὴν τὴν μυγαλῆν ⟨ἐν⟩ 8
οἴνῳ τετριμμένην πίνοντες ἢ πράσιον ἢ εὔζωμον ἢ κνῆκον ἥμερον ἢ σισύμβριον ἢ ἀβρότονον, ἢ τοῖς ἄλλοις τοῖς ἐπὶ τῶν ὁμοίων εἰρημένοις.

λδ̅ Χαλκιδικὴ σαῦρα καὶ σαλαμάνδρα.

τοῖς δὲ ὑπὸ τῆς Χαλκιδικῆς σαύρας πληγεῖσιν, ὡς ἐν τοῖς Σωρανοῦ ηὗρον, φησί, ἅμα τῷ δηχθῆναι συμβαίνει οἴδημα διαφανὲς

3 *SIM. Ael. Pr. l. s.; Theoph. Nonn. add. 3 (370).*
3 *EXC. Aet. l. s. Orib. V 681.*
10 *SIM. Ps. D. 26 (84); Paul. Aeg. V 12.*
15 *SIM. Ps. D. l. s. Ael. Pr. l. s. (fol. 481ᵛ); Paul. Aeg. V 12.*
24 *SIM. Ael. Pr. (fol. 482ʳ).*
24 *EXC. Aet. XIII 13; Theoph. Nonn. 278.*

1 πότιζε καὶ] ποτίζεται P: *correxi* ἢ εὔζωμον ἢ χαλβάνην ἢ ἐλελίσφακον ἢ κυπαρίσσου τὰ ἁπαλὰ σφαιρία A 2 κυκλαμίνου P: *correxi coll.* D 4 συντρίψας O 5 τὸ δῆγμα O 6 δὲ ἐκραγῇ O: δεραγῇ P ἢ *delevi (dittogr.)* 7 κατακαύσας O *Aet., fort. recte* ἐπίπασε τὰ ἕλκη P: κατάπλασσε ἐπὶ τὰ ἕλκη O: *correxi* 8 τυγχάνει P: *correxi* σίδια ἑφθὰ] διὰ ἔκφθα P: *correxi coll. Aet.* σίδια γλυκείας ῥόας ἑφθὰ λεῖα 10 χαλβάνης σπληνίον PA 11 *post* ἐπιτεθὲν *add.* καθʼ ἑαυτὴν ἢ καὶ μετʼ ὄξους λελειοτριβημένης *(-η ed.)* A 12 ἀναπτυσσομένη D 14 ἐπιπλασσόμενον A, *fort. recte* 15 *fort.* φησὶ τάδε 16 δηχθεῖσι A: πληγεῖσιν P 17 πλήρεις A: πλῆς P καὶ περὶ τὸ δῆγμα ἔκκρισις ἰχωρώδης *Pr.* 18 *ad* τέλεον *cf. Orib. IV 69* 20 σηπόμενα *Pr.*: σηπομένας P τινα *addidi ex Pr.*: μέρη σηπόμενα A 21 ἐκπίπτει *(ι pr. in ras.)* P ἐν *addidi* 23 ἀμβρότονον P 25 χαλκὴ σαῦρα *Pr.*: χαλκιδὴ σαύρα *Aet.* 26 φησί *fort. compilatoris est* ληφθῆναι P: *correxi*

34 ὥσπερ ἐκ λαμπτῆρος, μελανία τε περὶ τὸ μέρος καὶ σῆψις· διὸ καὶ
τούτους θεραπευτέον τοῖς ἐπὶ μυγαλῆς εἰρημένοις.
τοῖς δὲ ὑπὸ τῆς σαλαμάνδρας πεπληγμένοις συμβαίνει περι|-
fol. 286r ωδυνία σφοδρὰ καὶ ἐσχάρωσις. καὶ ἐπὶ τούτων δὲ ἡ ἐπιμέλεια τοῖς
ἐπακολουθοῦσιν συμπτώμασιν ⟨ἀνάλογος⟩.

λε τετράγναθα ζῷα καὶ ἀράχναι.

1 τῶν τετραγνάθων εἴδη εἰσὶ δύο, ὧν ἓν μέν ἐστιν ὑπόπλατυ καὶ
ὑπόλευκον, πόδας ἔχον τραχεῖς, κατὰ δὲ τὴν κεφαλὴν δύο ἔχον ἐκ-
φύσεις, μίαν εὐθεῖαν καὶ μίαν πλαγίαν, ὥστε στοχάζεσθαι στόματα
⟨μὲν⟩ ἔχειν δύο, γνάθους δὲ τέσσαρας. τὸ δὲ ἕτερον, ὡς παρωμοίωσαν
οἱ θηριακοί, ἴσην γραμμὴν καὶ ὁμοίαν ἔχει κατὰ τὸ στόμα, ὡς ὁρᾶ-
2 σθαι στόματα μὲν δύο, γνάθους δὲ τέσσαρας. τοῖς δὲ ὑπὸ τούτων
πεπληγμένοις, ὥς φησιν Ἀρχιγένης ἐν τοῖς Κατὰ γένος φαρμάκων,
κοινῶς μὲν παρακολουθεῖ ταὐτά, καθάπερ καὶ ἐπὶ σκορπίων, ἴδια δὲ
τὰ τοιαῦτα· ⟨τὸ⟩ τὴν πληγὴν ἀλγεῖν συντόνως, ὑπολευκανθίζειν τὸν
περὶ τὴν πληγὴν τόπον, ἀγρυπνεῖν, πρόσωπον καὶ κεφαλὴν οἰδεῖν,
ἰσχναίνεσθαι δὲ μέχρι τῶν ἄρθρων τὰ πεπληγότα μέρη, ἀτροφεῖν δὲ
καὶ ὑγιασθέντα. βοηθοῦνται δὲ καλαμίνθῃ ἢ τριφύλλῳ ἢ πηγάνῳ ἢ
πάνακι ἢ πολίῳ ποτιζόμενοι, καὶ τοῖς ἐπὶ φαλαγγιοδήκτων εἰρημένοις·
ἔστι γὰρ καὶ ταῦτα φαλαγγίων εἴδη.
3 περὶ ἀραχνῶν· ἔστιν δέ τι καὶ ἀραχνῶν γένος, ὃ πλῆξαν συν-
τόνους πόνους φέρει περὶ μέσον τὸ ὑποχόνδριον ⟨καὶ⟩ ἐρύθημα καὶ
δυσουρίαν, ἐνίοτε δὲ καὶ πνιγμόν. βοηθοῦνται δὲ καὶ οἱ ὑπὸ τούτων
πληγέντες, κύμινον ἄγριον Θηβαικὸν ἢ ἄγνου σπέρμα ἢ λεύκης τὰ
φύλλα ποτιζόμενοι, ἢ σκόροδα πλείονα προσφερόμενοι καὶ οἶνον ἐπιρ-
fol. 286v **4** ροφοῦντες ἄκρατον. καὶ ὁ Ἀπολλώνιος | ἐν τοῖς Εὐπορίστοις τὰ
αὐτὰ σχεδὸν ἡμῖν παραδίδωσιν, μετὰ τῶν σιτίων σκόροδα παραινῶν
δίδοσθαι, καὶ τοῦ κυμίνου μετὰ ἴσης ἄγνου σὺν οἴνῳ ἀκράτῳ.

6 *SIM. Pl. n. h. XXIX 87 (e Xenocr.-Iuba); Agatharch. 59 (G. G. M. I 150), unde Artem. (Strab. 772) et Ael. n. a. XVII 40.*
6 *EXC. Aet. XIII 17.*
21 *EXC. Aet. XIII 16; Paul. Aeg. V 7.*

2 τῆς μυγαλῆς *Pr.* 3 δὲ *superscr.* P *(m. pr.)* 5 ἀνάλογος *addidi, cf. c. 25,3* 7 εἰσὶ (./· ./·) P, *ad rem cf. Aet. l. s.* ὁ τετράγναθος καλούμενος εἶδός ἐστι φαλαγγίου ὑπόπλατυ, ὑπόλευκον, πόδας ἔχον τραχεῖς, κατὰ δὲ τὴν κεφαλὴν δύο ἐπιφύσεις, μίαν εὐθεῖαν καὶ μίαν πλατεῖαν, ὡς στοχάζεσθαι στόματα μὲν ἔχειν δύο, γνάθους δὲ τέσσαρας, καὶ γραμμὴν ὁμοίαν ἔχειν κατὰ τὸ στόμα 9 πλαγειαν P: πλατεῖαν *Aet.* 10 μὲν *addidi ex Aet.* δύο] β̅ P τέσσαρας] δ̅ P παρομοίασαν P: *correxi* 14 παρακολουθεῖ ταὐτά *scripsi:* παρακολουθοῦντα P 15 τὸ *addidi* ὑπολευκαθίζειν P: *correxi* 16 οἰδεεῖν P 17 ἄτροφον P: *correxi coll. Aet.* ἀτροφεῖ δὲ τὰ μέρη καὶ μετὰ τὴν ὑγείαν 21 πλῆττον *Aet.* 22 φέρει P: ἐπιφέρει *Aet.* μέσον] μὲν οὖν P: *correxi coll.* A καὶ *(pr.) add. Oder* 25 πλείονα P *Aet.:* μόνα A *(quod corr.)*

λς̄ φρῦνος.

ὁ δὲ Θεόδωρος ἐν τῷ ος̄ αὐτοῦ συγγράμματι περὶ φρύνου τῆς **36** 1
τε ἰδέας καὶ τῆς φύσεως ἡμῖν ἐξηγούμενος οὕτως λέγει· ὁ φρῦνος
βατράχου εἶδος εἶναί μοι δοκεῖ, ὑδρόβιον δὲ τὸ ζῷον καὶ ⟨ἐκ⟩ τῆς
λιμνοβίου φύσεως μεταβεβληκὸς ἐπὶ τὸ χερσόβιον. φρῦνος δὲ προσ- 2
αγορεύεται ἐμφερῶς τῷ χερσύδρῳ, δυσαλθῆ δὲ τὴν κάκωσιν παρέχει
τοῖς ἐντυγχάνουσιν· ἔστι γὰρ τὸ ζῷον ἐπιμέγεθες, ὡς μηδὲν ἀποδεῖν
βραχείας χελώνης, τραχύνεταί τε τὰ νῶτα καὶ πολὺ ἐπὶ τῇ τοῦ πνεύ-
ματος ἐμπλήσει διοιδεῖ. τολμηρότερον δὲ ἀμύνεται πρὸς τὸ ἄντικρυς 3
καὶ τοῖς πηδήμασιν ⟨τὸ μεταξὺ⟩ συναίρει διάστημα, σπανίως δὲ δήγμασιν
χρῆται. ἆσθμα ⟨δὲ⟩ πέφυκεν ἰῶδες ἐμποιεῖν σφόδρα, ὡς κἂν μόνον
προσθίγῃ τῷ ἄσθματι, βλάπτειν τοὺς πλησίον γινομένους. πλείονα δὲ
περὶ τοῦ ζῴου ἱστορούμενα παραπέμπομαι, ὡς μόνα τὰ χρησιμώτερα
παραθέσθαι σπουδάζων.

παρακολουθεῖ δὲ τοῖς ὑπὸ τούτου πεπληγμένοις οἴδημα ὅλου τοῦ 4
σώματος καὶ κατάρρηξις καὶ σύντομος ἀπώλεια. τὰ οὖν ἁρμόζοντα
τούτοις βοηθήματα προσενεκτέον ἐκ τῶν παραδεδομένων, λέγω δὴ τῶν
καθολικῶν καὶ ⟨κοινῶν⟩ ἀντιδότων καὶ τῆς ἄλλης ἀκολούθου διαίτης.

λζ̄ τρυγὼν θαλασσία καὶ σμύραινα.

τοῖς δὲ ὑπὸ τῆς τρυγόνος ⟨θαλασσίας⟩ πληγεῖσι συμβαίνει μὲν 1
προφανῆ εἶναι τὴν τρῶσιν, ἄλγημα δὲ συνεδρεύει παραχρῆμα σύν-
τονον, καὶ ἀπονάρκωσις | ὅλου τοῦ σώματος καὶ σῆψις, καὶ θάνα- fol. 287r
τος σύντομος. ἱστοροῦσιν δέ τινες ὡς εἴ τις τὸ κέντρον τῆς τρυ-
γόνος τὸ πλῆξαν ἀφελὼν [καὶ] ἐπὶ δένδρον καταπήξοι, μάλιστα μὲν

1 *EXC. Aet. XIII 36 (ex alio fonte sua habent Ps. D.* περὶ δηλ. *31 (38) Ael. Pr. [fol. 492r] Paul. Aeg. V 36).*
19 *SIM. Ps. Diosc. l. s. 7 (68) 24 (83).*
19 *Aet. XIII 37. 38.*

2 *Theodori mentionem om. Aet.* 4 εἶναι *compend. scr.* P ἐκ *addidi ex Aet.* 6 πρὸς δυσαλθῆ κάκωσιν τῶν ἐντυγχανόντων *Aet.* δυσα‖λὸν P 7 ἐπιμέγεθες *scripsi:* ἐπιμεγεθεῖ P: τῷ μεγέθει *Aet.* 8 τῆς *ante* βραχείας *add. Aet.* πολὺ *Aet.:* πολὺς P τῇ *Aet.:* τῆς P 9 ἐμπρήσει P: *correxi coll. Aet.* διοιδεῖν P: *correxi* 10 τὸ μεταξὺ *addidi ex Aet.* 11 δὲ *addidi ex Aet.* 12 προσθίγει P: *correxi* βλάπτει P, *correxi* γιγνομένους *Aet.:* γενομένους P: *correxi* 13 τοῦ ζῴου τούτου *Aet.* 15 τούτων P: *correxi* οἴδημα *Aet.:* οἰδήματα P 16 κατάρρηξις *(ultimis duabus syllabis fere evanidis)* P 17 παρενεκτέον *Aet.* ἐκ τῶν *Aet.: evanida habet* P 18 καθολι . . . *(litt. evan.)* P κοινῶν *addidi ex Aet.* διαίτης] δ . . . της *(charta laesa)* P: ἐπιμελείας *Aet.* 20 θαλασσίας *addidi ex Aet. et* D πληγεῖσι *Aet.:* ληφθεῖσι P 22 *post* σώματος *habet* ὀξὺ γὰρ καὶ ἑδραῖον τὸ κέντρον, καὶ τῇ σφοδροτάτῃ βίᾳ ὠθούμενον εἰς βάθος τιτρώσκει τὰ νεῦρα· διὸ ἐπί τινων καὶ ⟨ὁ⟩ θάνατος εὐθὺς σὺν κατασπασμῷ παρακολουθεῖ *Aet.* 23 σύντονος P: *correxi* 24 καὶ *delevi, nisi plura interciderunt* καταπήξοι P *Aet.* μὲν *om. Aet.*

37 1 δρύινον, αὐτὸ μὲν τὸ δένδρον ξηρανθήσεται, ὁ δὲ πάσχων ἀπαλ-
λαγήσεται κατὰ τὸν τῆς ἀντιπαθείας λόγον.
2 βοηθοῦνται δὲ οἱ ὑπ᾽ αὐτῆς πληγέντες, ἐπειδὴ ψῦξις καὶ νάρκη
ὅλου τοῦ σώματος παρακολουθεῖ, τοῖς θερμαίνουσιν συγχρίσμασιν καὶ
τοῖς ἄλλοις καταπλάσμασι τοῖς κοινοῖς. ἰδίως δὲ ἐπὶ τούτων τὰ
πίτυρα συνεψηθέντα μετ᾽ ὄξους καὶ καταπλασθέντα ὠφελεῖ, καὶ αὐτὸ
3 δὲ τὸ ὄξος βοηθεῖ λίαν. κατ᾽ ἰδίαν δὲ ⟨ὃ⟩ παραδίδωσιν ἡμῖν ὁ
Στράτων ἐν τοῖς αὐτοῦ συγγράμμασίν ἐστι τόδε· κατάπλασσε δέ,
φησὶν οὗτος, δάφνης φύλλοις λελεασμένοις, καὶ τὸ ἀφέψημα δὲ τῆς
δάφνης μετ᾽ οἴνου δίδου πίνειν, ἢ ὀπὸν Κυρηναικὸν μετ᾽ οἴνου κεκρα-
μένου δίδου πίνειν, ἢ σμύρνῃ ὁμοίως χρηστέον, ἢ πέπερι μετὰ πηγά-
νου καὶ σμύρνης συλλεάνας δίδου μετ᾽ οἴνου ζωροτέρου, ἢ σίλφιον
λεάνας μετ᾽ οἴνου ὁμοίως.
4 τοῖς δὲ ὑπὸ τῆς σμυραίνης πεπληγμένοις συμβαίνει, ἃ καὶ ἐπὶ
τῶν ἐχεοδήκτων, διὸ καὶ τῶν ὁμοίων βοηθημάτων τυγχανέτωσαν. ὁ δὲ
Ἀρχιγένης φησίν· ἐπὶ τῶν θαλασσίων, οἷον τρυγόνος, σμυραίνης,
δράκοντος συκῆς ὀποῦ σταλαγμοὺς τέσσαρας ἢ πέντε μετὰ κλωνίων
ἑρπύλλου τριῶν ἢ τεσσάρων πότιζε.

5 τὰ *om. Aet.* 7 *post* ὄξος *add.* θερμὸν καταντλούμενον *Aet.* καθι-δίαν P 8 *addidi* παράδοσιν P: *correxi* 9 λελειασμένοις P: *corr. Oder* 11 σμύρναν P: *correxi* 12 *post* σίλφιον *add.* ἢ λάσαρ *Aet.* 15 τυγχανά-τωσαν P: *correxi* 17 δ̄ ἢ ε̄ P 18 ἑρπύ..... *(5 litt. evanidis)* ἢ δ̄ P

ADDENDA

7, 30 τοιοῦτος μὲν ⟨οὖν⟩ scribendum est
13, 16 fort. post ἀριστολοχίας addendum ⟨ἀνὰ ᾱ⟩ vel tale quid
13, 19 ταῦτα μὲν ⟨οὖν⟩ scribendum
17, 16 καὶ ταῦτα μὲν ⟨οὖν⟩ scribendum
18, 11 ὀλίγου tuendum coll. Aet. l. XII ed. Costomiris p. ξε´
20, 18 ⟨τὸ⟩ dele
21, 25 fort. παρέπεται δὲ ⟨καὶ⟩ νάρκα
22, 5 fort. διὸ ⟨καὶ⟩ καλῶς
24, 13 ὀλίγου tuendum
25, 2 ⟨τοῦ⟩ dele
26, 13 fort. ἡψημένῳ
27, 8 fort. οἰκείως ἔχει
27, 21 καὶ ⟨αἱ⟩ οὐλαί legendum
27, 22 καὶ ταῦτα μὲν ⟨οὖν⟩ scribendum
31, 7 ⟨ὁ⟩ dele

INDICES

I INDEX VERBORVM

Verba asterisco notata desiderantur in lexicis

II INDEX SCRIPTORVM

LIPSIAE: TYPIS B. G. TEVBNERI.